De Theophania (Fragmenta) (Greek)

Eusebius of Caesarea (c. AD 260–339)

SermonIndex.net / Church Fathers

De Theophania (Fragmenta)

Ευσεβιου Περι Της Θεοφανειας — (Bruchstücke)
ὥσπερ δὲ ἐπὶ τοῦ καθ’ ἡμᾶς παραδείγματος ὁ μὲν ἀόρατος καὶ ἀφανὴς ἐν ἡμῖν νοῦς, ὃν ὅστις ποτὲ καὶ ὁποῖος ὢν τὴν οὐσίαν ὑπάρχει οὐδεὶς πώποτε ἀνθρώπων ἔγνω, βασιλεὺς οἷα ἐν ἀπορρήτοις τοῖς αὐτοῦ ταμείοις καθιδρυμένος τὰ πρακτέα βουλεύεται, λόγος δ’ ἐξ αὐτοῦ πρόεισι μονογενής, οἷα πατρὸς ἐξ ἀδύτων μυχῶν γεγεννημένος, ὃς δὴ καὶ πρῶτος τῶν πατρικῶν τοῖς πᾶσι καθίσταται νοημάτων ἄγγελος εἰς φανερόν τε κηρύττει τὰ ἐν ἀπορρήτοις τῷ πατρὶ βεβουλευμένα, ἔργοις τε ἐπιτελεῖ τὰ βουλεύματα προίων εἰς τὰς πάντων ἀκοάς, εἶθ’ οἱ μὲν τῆς ἐκ τοῦ λόγου μεταλαμβάνουσιν ὠφελείας, τὸν δ’ ἀφανῆ καὶ ἀόρατον νοῦν, τὸν τοῦ λόγου πατέρα, οὐδεὶς πώποτε εἶδεν ὀφθαλμοῖς· κατὰ ταὐτὰ δὴ μᾶλλον δὲ ἐπέκεινα πάσης εἰκόνος καὶ παραδείγματος ὁ τοῦ παμβασιλέως θεοῦ τέλειος λόγος, οἷα μονογονὴς παρτὸς πατρὸς υἱός, οὐ προφορικῇ δυνάμει συνεστώς, οὐδ’ ἐκ συλλαβῶν ὀνομάτων τε καὶ ῥημάτων τὴν φύσιν κατεσκευασμένος, οὐδ’ ἐν φωνῇ δι’ ἀέρος πληττομένου σημαινόμενος, θεοῦ δὲ τοῦ ἐπὶ πάντων ζῶν καὶ ἐνεργὴς ὑπάρχων λόγος, κατ’ οὐσίαν τε ὑφεστὼς οἷα »θεοῦ δύναμις καὶ θεοῦ σοφία«, πρόεισι μὲν τῆς πατρικῆς τε καὶ βασιλείας, ἀγαθοῦ δὲ πατρὸς ἀγαθὸν τυγχάνων γέννημα […] κοινός τε ἁπάντων σωτὴρ ἐποχετεύει τὰ σύμπαντα . . . .

τίς ἄλλος πώποτε τῶν ἐξ αἰῶνος βοηθέντων ὡς οὗτος ὁ παρ’ ἡμῖν θεολογούμενος προφητικαῖς ἄνωθεν πρὸ μυρίων χρόνων ἐγνώσθη τε καὶ προεκηρύχθη φωναῖς παρὰ τοῖς πρόπαλαι θεοφιλέσιν Ἑβραίων παισίν οἳ καὶ τὸν τόπον τῆς θεοφανείας αὐτοῦ καὶ χρόνους τῆς ἀφίξεως καὶ τρόπον τοῦ βίου καὶ δυνάμεις καὶ λόγους καὶ κατορθώματα αὐτοῦ προλαβόντες βίβλοις ἱεραῖς ἐγκατέθεντο.

ἀλλ᾽ ἵνα μή μοι τὰ νῦν ὁ λόγος εἰς μακρὰν ἐκτείνοιτο ἐπὶ πάν. τὰ τά μεγαλουργήματα αὐτοῦ, ὑπ’ ὄψεσιν ἐκκείσθω ὁ αὐτοῦ θάνατος, ὃν δὴ ὑποοτῆναι ὁ ἑρμηνεὺς τὸ τοῦ θείου λόγου περίβλημα τὸ ἀποκαλυφθὲν ἄγαλμα παρὰ τοῖς πᾶσιν ἀνωμολόγηται. καὶ αὐτὸς δὲ ὁ βοώμενος θάνατος πολλοῦ μετέχει τοῦ θαύματος, οὐ κοινὸς τοῖς ἀνθρώποις γεγενημένος. οὐ γὰρ νόσῳ διαφθαρεὶς οὐδὲ βρόκῳ οὐδὲ πυρὶ οὐδὲ μὴν κατ’ αὐτὸ τὸ τοῦ οταυροῦ τρόπαιον ὁμοίως τοῖς λοιποῖς κακούργοις ὑποτμηθεὶς σιδήρῳ, οὐδ’ ὅλως πρός τινος ἀνθρώπων παθών τι τῶν ἀναιρεῖν εἰωθότων βιαίαν ὑπέμεινε τελευτήν, ἀλλ’ ὡς αὐτὸ μόνον ἑκὼν παρεδίδου

τὸ αὐτοῦ ὄργανον τοῖς ἐπιβου- λεύουσι, τὸ μὲν ἀπὸ γῆς ἀνωρθοῦτο αὐτίκα, ὁ δὲ φωνήσας μέγα καὶ τῷ πατρὶ τὸ πνεῦμα παρατίθεσθαι εἰπὼν ἄφετος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σώματος ἀναχώρησιν ἐποιεῖτο. διὸ δὴ πρὸ τοῦ θανάτου τοῖς αὐτοῦ γνωρίμοις τοῦτο αὐτὸ παρεδίδου διδάσκων καὶ λέγων· οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ πάλιν ἐξουσίαν εἴω λαβεῖν αὐτήν.« καὶ πάλιν· »ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκονσί με τὰ ἐμὰ« καὶ »τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων«. τὴν δὲ τοῦ θανάτου αἰτίαν ἐν βραχέσι παρίοτησι λέγων· »ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐάν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει«. τεκμήρια γοῦν τοιαῦτα παρέχων ἐπὶ τοῦ θανάτου, ἄφετος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σώματος ἀναχώρησιν ἐποιεῖτο. εἶτα δὲ τοῦ σώματος αὐτοῦ ληφθέντος πρὸς τῶν γνωρίμων καὶ τῇ προὅηκούοῃ παραδοθέντος ταφῇ. τριταῖος αὖθις ἀπελάμβανε τοῦτο αὐτὸς ὁ πρὶν ἀναχωρήσας ἑκών. καὶ πάλιν αὐτὸς ἑαυτὸν ἔνόαρκον, ἔνσωμον αὐτὸν ἐκεῖνον ὅιος καὶ τὸ πρῶτον ἦν τοῖς οἰκείοις μαθηταῖς δείκνυσιν, οἷς καὶ ἐπὶ βραχὺ ὁμιλήσας καί τινα συνδιατρίψας χρόνον, ἄνεισιν ὅθεν καὶ παρῆν, ὑπ' ὀφθαλμοῖς αὐτῶν τὴν εἰς οὐρανοὺς πορείαν καὶ καὶ ἄνοδον στειλάμενος, οἷς δὴ καὶ ὑποθήκας περὶ τῶν πρακτέων παραδοὺς διδασκάλους τῶν ἐθνῶν ἁπάντων τῆς ἀνωτάτω θεοσεβείας ἀπέφηνεν.

τί δὴ οὖν ἐπὶ τούτοις λείπεται ἢ αὐτὸ δὴ τὸ τοῦ παντὸς κεφάλαιον ὁποίαν ἔκιχεν αἰτίαν ἐξειπεῖν, λέγω δὴ τὸ πὸ πολυθρύλλητον τοῦ βίου τέλος καὶ τοῦ πάθους τὸν τρόπον καὶ τῆς μετὰ τὸν θάνατον ἀναβιώσεως αὐτοῦ τὸ μέγα θαῦμα. μετὰ δὲ τὴν τούτων θεωρίαν πάλιν εἰς τὰς ἀποδείξεις παριόντες αὐτὰς δι' ἐναργῶν πιστωσόμεθα μαρτυριῶν. ὀργάνῳ μὲν οὺν θνητῷ δι' ἃς προείπομεν αἰτίας οἷα δὴ ἀγάλματι θεοπρεπεῖ κεχρημένος τούτῳ τε αὐτῷ οἷα μέγας βασιλέ' ὗς δι' ἑρμηνέως τὸν ἀνθρώπειον διεξελθὼν βίον, πάντ' ἐπαξίως θεικῆς δυνάμεως διεπράξατο. εἰ μὲν οὖν ἄλλως πὼς μετὰ τὰς ἐν ἀνθρώποις διατριβὰς ἀφανὴς γεγονὼς ἐξαίφνης ἀπέπτη, ὑποκλέψας λάθρα τὸν ἑρμηνέα καὶ τὸ οἰκεῖον ἄγαλμα φυγῇ τὸν θάνατον διαδρᾶναι σπουδάσας, κἄπειτά που τὸ θνητὸν αὐτὸς δι' ἑαυτοῦ φθορᾷ καὶ ἀπωλείᾳ συνάψας, φάσματι ἂν ἐῴκει τοῖς πᾶσι καὶ οὔτ' ἂν αὐτὸς αὐτῷ τὰ πρέποντα διεπράξατο, ζωὴ μὲν τυγχάνων καὶ θεοῦ λόγος καὶ θεοῦ δύναμις, φθορᾷ δὲ καὶ ἀπωλείᾳ τὸν αὐτὸς αὐτοῦ παραδιδοὺς ἑρμηνέα, οὔτ' ἂν τὰ κατὰ δαιμόνων αὐτῷ πεπραγμένα διὰ τῆς τοῦ θανάτου συπλοκῆς πλοκῆς τέλους ἠξιοῦτο, οὔτ' ἂν ἐγνώσθη ὅπη ποτὲ ὑπῆρχε χωρήσας, οὐτ' ἂν ἐπιστεύθη τοῖς μὴ παρειληφόσιν, οὔτ' ἂν θανάτου τὴν φύσιν ἐφάνη κρείττων, οὔτ' ἂν τὸ θνητὸν τῆς οἰκείας ἠλευθέρου φύ- σεως οὔτ' ἂν καθ' ὅλης τῆς ἀνὅρώπων οἰκουμένης ἠκούσθη, οὔτ' ἂν θανάτου καταφρονεῖν τοὺς αὐτοῦ μαθητὰς ἔπεισεν, οὐτ' ἂν τῆς μετὰ τὸν θάνατον παρὰ θεῷ τὴν ἐλπίδα τοῖς τὴν καλίαν μετιοῦσι παρεστήσατο, οὐτ' ἂν τῶν αὐτοῦ λόγων τὰς ἐπαγγελίας ἐπλήρου, οὔτ' ἂν ταῖς προφητικαῖς περὶ αὐτοῦ προρρήσεσι σύν παρεῖχε τὰ ἀποτελέσματα, οὐτ' ἂν τὸν ὕστατον ἁπάντων ἀγῶνα διήθλησεν. οὗτος δ' ἦν ὁ κατὰ τοῦ θανάτου.

διὸ δὴ τούτων ἕνεκα πάντων, ἐπειδὴ ἐχρῆν ἐξ ἅπαντος τὸ θνη- τὸν ὄργανον μετὰ τὴν αὐτάρκη διακονίαν, ἣν τῷ θείῳ λόγῳ διηκονήσατο, τέλους θεοπρεποῦς τυχεῖν, ταύτῃ πη καὶ αὐτῷ ὁ θάνατος ᾠκονομεῖτο. δυοῖν γὰρ λειπομένων τῷ τέλει. ἢ φθορᾷ καὶ ἀπωλείᾳ παραδοῦναι τὸ πὰν καὶ τοῦ παντὸς δράματος αἰσχίστην ποιήσασθαι τὴν καταστροφήν, ἢ θανάτου κρείττονα ἑαυτὸν φῆναι θεϊκῇ δυνάμει τὸ θνητὸν ἀθάνατον παραστησάμενον, τὸ μὲν ἀνοίκειο ἦν τῆς ἐπαγγελίας. οὐ γὰρ δὴ πυρὸς οἰκεῖον τὸ ψύχειν οὐδὲ φωτὸς τὸ σκοτίζειν· οὕτως οὐδὲ ζωῆς τὸ θανατοῦν οὐδὲ τοῦ θεοῦ λόγου τὸ παραλόγως ἐνεργεῖν. ποῖον οὖν εἶχε λόγον τὸν ἑτέροις ζωὴν ἐπαγγελλόμενον τὸ οἰκεῖον ὄργανον φθειρόμενον παριδεῖν ἀπωλείᾳ τε παραδοῦναι τὸ αὐτοῦ ἄγαλμα, καὶ τὸν τῆς θεότητος αὐ- τοῦ ἑρμηνέα θανάτῳ λυμήνασθαι τὸν τοῖς πρόσφυξιν ἀθανασίαν προμνώμενον; οὐκοῦν τὸ δεύτερον ἀναγκαῖον ἦν, λέγω δὲ τὸ θανάτου κρείττονα ἑαυτὸν φῆναι. πῶς οὖν ἐχρῆν τοῦτο ποιήσασθαι; λαθραίως ἄρα καὶ κλοπιμαίως ἢ τοῖς πᾶσιν ἀριπρεπῶς καὶ διαδήλως; ἀλλὰ σκότιον μὲν καὶ κρύφιον αὐτῷ πραχθὲν τὸ κατόρθωμα μηδενί τε γνωόθὲν οὐδένα ἂν ὤνησεν· βοηθὲν δὲ καὶ ἀκουσθὲν εἰς πάντας τοῖς πᾶσι τὴν ἐκ τοῦ θαύματος παρεῖχεν ὠφέλειαν. εἰκότως ἄρα, ἐπειδὴ ἐχρῆν τὸ αὐτοῦ ὄργανον κρεῖττον θανάτου φῆναι καὶ τοῦτο πρᾶξαι μὴ εἰς τὸ λεληθὸς ἀλλ’ ἐπ’ ὄψεοιν ἀνθρώπων, οὐ φεύγει μὲν τὸν θάνατον· ἦν γὰρ ἂν δειλὸς καὶ θανάτου χείρων ἐνομίσθη· διὰ δὲ τῆς πρὸς τὸν θάνατόν συμπλοκῆς οἷα πρὸς ἀνταγωνιστὴν τὸ θνητὸν ἀθάνατον παρίστη, ὑοτατον ἀγῶνα τοῦτον ὑπὲρ τῆς ἀπάντων σωτηρίας καὶ ἀθαναοίας ἀναδεδεγμένος. μένος. ὁ μὲν γὰρ πρῶτος αὐτῷ κατὰ δαιμόνων ἐνηργεῖτο ἐπὶ καθαιρέσει τῆς πολυθέου πλάνης . . . . . .

. . . . . .

ἐκεὶ δὲ ὁ πρὸς τούσδε τέλος εἶχεν ἀγών, ἀνελθὼν λοιπὸν ὁ πάντων πινίκιος σωτὴρ τοι ἐν ἀνθρώποις βίῳ ἐπεδήμησεν . . . . . .

. . . . . .

. . . . . ὁ δὲ δεύτερος ἐπὶ λύσει τῆς τοῦ θανάτου καταδυναστείας ἐγίνετο. ἔδει γὰρ τὸ τῆς ἀθέου καὶ δαιμονικῆς πλάνης κρεῖττον καὶ τῷ θεῷ λόγῳ ἀκόλουθον καὶ τοῦ ἑαυτοῦ ἔργου ἀξίαν τιμὴν τὴν δὴ κατὰ τοῦ θανάτου νίκην ἀπολαβεῖν. οἱ μὲν τὰρ κατ’ αὐτοῦ συνηγμένοι δαίμονες ὅ τε τούτων ἐξάρχων ὁμοῦ τοῖς ἀμφ’ ὑπὲρ γῆς συμπεριπολοῦσι πνεύμασι τοῖς ὄψεσι θνητῶν ἀοράτοις τὰ νῶτα κατὰ τὴν πρώτην αὐτῷ συμβολὴν παραχωρήσαντες, τὸν δεύτερον ἆθλον ἐσκόπουν, τοῦ βίου λοιπὸν τὴν ὑστάτην καταστροφὴν ἐκδεχόμενοι καὶ τὴν τοῦ θνητοῦ τελευτὴν ὁμοίαν ἔσεσθαι ἴασιν ἀνθρώποις καραδοκοῦντες. οὐ γὰρ ἂν πώποτε θνητῶν φύσιν θανάτου κρείττονα γενέσθαι προσεδόκησαν, τὸν δὲ θάνατον εἶναι κοινὸν σιλέα ἁπάντων τῶν ἅπαξ θνητῆς γενέσεως πεπειραμένων. ἀλλ’ οἱ μὲν ἐνόμιζον πάντων αὐτὸν εἶναι δεινότατον, ὃν φύγοι καὶ ἀναχωρήσειεν ἂν οὐδείς, ὁ δὲ μετὰ τὰ πρῶτα κατὰ δαιμόνων τρόπαια ἤδη καὶ κατὰ τοῦ θανάτου παρετάττετο. ὥσπερ δὲ δῖ τις ἄκαυστον ἡμῖν καὶ πυρὸς τῇ φύσει κρεῖττον δεῖξαί τι σκεῦος ἤθελεν, οὐκ ἄλλως ἂν τὸ θαῦμα παρεστήσατο ἢ πυρὶ παραδοὺς τὸ μετὰ χεῖρας κἄπειτα σῶον αὐτὸ καὶ ἀδιόφθορον τοῦ πυρὸς ἐξελών, κατὰ ταὐτὰ δὴ καὶ ὁ τῶν ὅλων

ζωοποιὸς τοῦ θεοῦ λόγος τὸ θνητὸν ὄργανον, ᾧ πρὸς ἀνθρώπων ἐκέχρητο σωτηρίαν, κρεῖττον θανάτου φῆναι βουληθεὶς κοινωνόν τε ἀποφῆναι τῆς οἰκείας ζωῆς τε καὶ ἀθανασίας, εὖ μάλα χρησίμην ὑπῄει τὴν οἰκονο- μίαν, τὸ σῶμα πρὸς βραχὺ καταλιπὼν καὶ τὸ θνητὸν τῷ θανάτῳ παραδοὺς εἰς ἔλεγχον τῆς οἰκείας φύσεως, εἶτ' οὐκ εἰς μακρὰν αὐτὸ τοῦ θανάτου πάλιν ὑφαιρούμενος, εἰς παράστασιν τῆς ἐνθέου δυνάμεως, δι᾽ ἧς παντὸς θανάτου κρείττονα τὴν πρὸς αὐτοῦ ζωὴν ἀίδιον ἔφαινεν.

ἡ μὲν οὖν πρώτη αἰτία ἦν αὕτη, δευτέρα δὲ ἡ τῆς ἐν τῷ σώματι κατοιχησάσης ἐνθέου δυνάμεως ἔνδειξις. ἐπειδὴ γὰρ τὸ πρότερον τοὺς ὑπὸ τοῦ θανάτου νενικημένους ἄνδρας θνητοὺς ἀληθῶς καὶ κοινὸν τέλος ὑποδεδεγμένους μένους ἐθείαζον ἄνθρωποι, ἥρωάς τε καὶ θεοὺς ὠνόμαζον τοὺς ὑπὸ τοῦ θανάτου κεκρατημένους, κἀκεῖ εἰκότως ἑαυτὸν ταύτης ἕνεκα τῆς αἰτίας ἔφηνεν ὁ φιλάνθρωπος τοῦ θεοῦ λόγος, κρείττονα θανάτου φύσιν ἀνθρώποις δεικνύς, καὶ τὸ μὲν θνητὸν μετὰ τὴν λύσιν ἐπὶ τὴν δευτέραν ζωὴν ἄγων, τρόπαιον δὲ ἀθανασίας κατὰ τοῦ θανάτου τοῖς πᾶσι παρέχων ὁρᾶν, καὶ διδάσκων μόνον τοῦτον ἐν θανάτῳ θεὸν ἀληθῆ εἶναι ὁμολογεῖν τὸν τὰ βραβεῖα τῆς κατὰ τοῦ θανάτου νίκης ἀναδησάμενον.

τρίτη δ' ἂν εἴη αἰτία τοῦ σωτηρίου θανάτου ἣν ἀπόρρητοι λόγοι περιέχουσιν. τίνες οὗτοι; ἱερεῖον ἦν ἀντίψυχον τοῦ κοινοῦ γένους παραδιδόμενον τῷ, θανάτῳ, ἱερεῖον ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων ἀγέλης σφαγιαζόμενον, ἱερεῖον δαιμονικῆς πλάνης ἀποτρόπαιον. ἱερείου δῆτα ἕνος καὶ μεγάλου θύματος, τοῦ πανιέρου σώματος τοῦ σωτῆρος ἡμῶν, ὁμοίως προβάτῳ ὑπὲρ τοῦ τῶν ἀνθρώπων γένους σφα- γιασθέντος καὶ πάντων ἐθνῶν τῶν πρὶν ἀσεβείᾳ δαιμονικῆς πλάνης ἐνεσχημένων ἀντίψυχον ἀνενεχθέντος, πᾶσα λοιπὸν ἡ τῶν ἀνάγνων καὶ ἀνιέρων δαιμόνων δύναμις καθῄρητο, ἐλέλυτό τε καὶ παρεῖτο αὐτίκα δυνάμει κρείττονι πᾶσα γεώδης καὶ ἀπατηλὸς πλάνη. τὸ μὲν οὐν σωτήριον ἐξ ἀνθρώπων θῦμα, αὐτὸ δὴ τὸ τοῦ θείου λόγου σωματικὸν ὄργανον ὑπὲρ τῆς κοινῆς ἀνθρώπων ἀγέλης καθιεροῦτο καὶ τοῦτο δ' ἦν τὸ δι' ἀνθρώπων διαβολῆς τῷ θανάτῳ παραβεβλημένον σφάγιον, οὐ πέρι λόγων ἱερῶν βοῶσι φωναί, τοτὲ μὲν ὧδέ πη λέγουσαι· »ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,« τοτὲ δὲ ὧδε προαναφωνοῦσαι· »ὡς πρό βᾶτ' ὂν ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος« καὶ τό γε διδάσκουσιν ἐπιλέγουσαι· »οὑτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ ἡμῶν ὀδυνᾶται. καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει, αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν. τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἕκαστος τὴν ὁδὸν αὐτοῦ ἐπλανήθη. καὶ κύριος παρέ- δωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.« τὸ μὲν οὖν σωματικὸν τοῦ θείου λόγου ὄργανον διὰ ταύτας καθιεροῦτο τὰς αἰτίας, ὁ δὲ μέγας ἀρχιερεὺς ὁ τῷ πανηγεμόνι καὶ παμβασιλεῖ θεῷ ἱερώμενος, ὢν παρὰ τὸ ἱερεῖον, θεοῦ λόγος καὶ »θεοῦ δύναμις καὶ θεοῦ σοφία«, οὐκ εἰς μακρὰν τὸ θνητὸν ἀνεκαλεῖτο τοῦ θανάτου καὶ τοῦτο τῆς κοινῆς ἡμῶν σωτηρίας τὴν ἀπαρχὴν ζωῆς ἐνθέου καὶ

ἀθαναοίας μέτοχον παρίστη, τρόπαιον ἐπινίκιον κατὰ τοῦ θανάτου καὶ κατὰ τῆς δαιμονικῆς παρατάξεως τῶν τε πάλαι συντελουμένων ἀν- θρωπο θυσιῶν ἀπο τρόπαιον τρόπαιον τοῦτο ὑπὲρ ἁπάντων ὅθεν ἐπετέθη αὐτῷ καὶ ἦ τῷ παρὰ τοῖς Ἑβραίοις ἰς ἀρχιερεῖ συσχηματιζο- μένη τοῦ Χριστοῦ προσηγορία. δύο γοῦν ἔλαβεν ὀνόματα, ὧν τὸ μὲν τοῦ σωτηρίου σωτηρίου θύματος σημαίνει τὸ τοῦ Ἰησοῦ ὄνομα, τὸ δὲ τοῦ ἀρχιερέως τοῦ ὑπὲρ πάντων ἡμῶν ἱερωμένου θεοῦ λόγου κατὰ τὸ τῶν Ἑβραίων ἔθος δηλοῖ τὸ τοῦ Χριστοῦ .

πρὸς τοῖς εἰρημένοις καὶ ἄλλη τις γένοιτ’ ἂν τοῦ σωτηρίου θα- νάτου μεγίστη αἰτία ἡ λεχθησομένη. ἐπειδὴ γὰρ τοῖς αὐτοῦ φοιτηταῖς ὀφθαλμοῖς ἰδεῖν ἀναγκαῖον ἦν ζωῆς τῆς μετὰ θάνατον ἐναργῶς παλιγγενεσίαν, ἐφ’ ἣν τὰς αὐτῶν ἐλπίδας ἀναρτᾶν αὐτοὺς ἐδίδασκεν, δι’ ἣν καὶ προὔτρεπεν αὐτοὺς ἔχεσθαι τοῦ τῆς θεοσεβείας ζυγοῦ, εἰ- κότως τοῦτο ὁρᾶν αὐτοῖς ὀφθαλμοῖς παρεῖχεν· ἐχρῆν γὰρ τοὺς μέλλοντας εὐσεβῆ μετιέναι βίον τοῦτο πρῶτον πάντων ἀναγ- καιότατον μάθημα δι’ ἐναργοῦς ὄψεως παραλαβεῖν καὶ πολὺ μᾶλλον ἐκείνους τοὺς εἰς ἅπασαν τὴν οἰκουμένην μέλλοντας αὐτὸν ὅσον οὔπω κηρύττειν καὶ τὴν ὑπ’ αὐτοῦ πᾶσι τοῖς ἔθνεσι προβληθεῖσαν διδασκαλίαν τε καὶ] θεογνωσίαν εἰς πάντας καταγγέλλειν ἀνθρώπους. οὓς δὴ πεῖσμα μέγιστον λαβεῖν ἐχρῆν τῆς μετὰ τὸν θάνατον ζωῆς, ὡς ἂν ἀδεεῖς καὶ ἄφοβοι θανάτου τὸν κατὰ τῆς πολυθέου πλάνης ἀγῶνα προθύμως ἀναδέξοιντο· μὴ γὰρ θανάτου καταφρονεῖν μελετή- σαντες, οὐκ ἂν πώποτε πρὸς τὰ δεινὰ παρεσκευάζοντο. διὸ δὴ ἀναγ- καίως ὁπλίζων αὐτοὺς κατὰ τῆς τοῦ θανάτου δυναστείας, οὐ ῥημα- τίοις καὶ φωναῖς παρεδίδου τὸ μάθημα οὐδὲ λόγοις ὁμοίως ἀνθρώ- ποις τὸν περὶ ψυχῆς ἀθανασίας πιθανῶς καὶ ἐξ εἰκότων συντάττων, αὐτῷ δὲ ἔργῳ τὰ κατὰ τοῦ θανάτου ἐπεδείκνυ αὐτοῖς τρόπαια.

ἦν μὲν γὰρ πάλαι πρότερον φοβερὸς τοῖς πᾶσιν ὁ τοῦ θνητοῦ γένους ὀλετὴρ θάνατος καὶ λύσις ἐνομίζετο τῆς ὅλης ἀνθρώπου φύσεως ψυχῆς ὁμοῦ καὶ σώματος ἡ τούτου δυναστεία, οὐδέ τις ἦν τῶν αἰῶνος οἱός τε τουτὶ τὸ φόβητρον ἐξ ἀνθρώπων ἀνελεῖν, πάντες δ’ ἐπτήχεσαν φόβῳ μικροὶ καὶ μεγάλοι ἄρχοντές τε καὶ δοῦλοι βασιλεῖς ὁμοῦ καὶ δῆμοι πλήθη τε πάντων ἐθνῶν καὶ φῦλα τὸν θάνατον, οὐκ ἦν τε τοῦ κακοῦ παραμύθιον ἀνθρώποις οὐ λόγος οὐ τρόπος οὐ βίος οὐ σοφῶν λογισμὸς οὐ παλαιῶν συγγράμματα οὐ προφητῶν θεσπίσματα οὐκ ἀγγέλων ἐπιφάνειαι· πάντων δὲ κρείττων ὢν καὶ τὴν κατὰ πάντων νίκην ἐπεῖχεν ὁ θάνατος ὑψηλός μεγάλαυχος, ὑπερήφανος, ᾧ δὴ καταδεδουλωμένον τὸ θνητὸν γένος παντοίαις ἐκαλινδεῖτο παρανομίαις, μιαιφονίαις, ἀθεμιτουργίαις, δυσσεβείαις, πολυπλόκῳ πλάνῃ· τούτων γὰρ ἦν ἁπάντων θάνατος αἴτιος. ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον τὰ μυρίων θανάτων ἄξια δρῶντες διῆγον καὶ ὡς εὐθύναις οὐδαμῶς ὑποκείμενοι διὰ τὴν ἐκ τοῦ θανάτου λύσιν βίον ἔζων ἀβίωτον, οὐ θεὸν ἐν νῷ λαμβάνοντες, οὐ θείας κρίσεως δικαιωτήρια προσδοκῶντες, οὐ τῆς σφῶν κατὰ ψυχὴν νοερᾶς οὐσίας τὴν μνήμην ἀναζωπυροῦντες, ἐνὶ δὲ δεινῷ, προστάτῃ τῷ Θανάτῳ χρώμενοι, καὶ τὴν ἐκ τούτου τῶν σωμάτων φθορὰν λύσιν τοῦ παντὸς ἑαυτοὺς εἶναι πείσαντες, θεὸν πλούσιον, παρὸ καὶ Πλούτωνα, τὸν

Θάνατον ἀνηγόρευον. καὶ Θάνατος ἦν αὐτοῖς θεὸς οὐ μόνος, ἀλλὰ καὶ τὰ πρὸ τούτου τίμια, τὰ δὴ πρὸς ἡδυπαθῆ ζωὴν αὐτοῖς συμβαλλόμενα. θεὸς γοῦν αὐτοῖς ἦν ἡ τῶν σαρκῶν ἡδονή, θεὸς τροφή, θεὸς τὸ εἰς γῆν σπέρμα, θεὸς ἡ τούτου βλάστη, θεὸς ἡ τῶν ἀκροδρύων φυή, θεὸς ἡ διὰ μέθης τρυφή, θεὸς ὁ τῶν σωμάτων πόθος, θεὸς ἡ τούτων ἡδονή. ἔνθεν τὰ Δήμητρος καὶ Φερεφάττης μυστήρια καὶ Κόρης ἁρπαγὴ ὑπὸ Ἀϊδωνέως καὶ πάλιν ἡ ταύτης ἀνάδοσις. ἔνθεν Διονύσου τελεταὶ καὶ νικώμενος Ἡρακλῆς ὡς ὑπὸ κρείττονος θεοῦ τῆς μέθης, ἔνθεν Ἔρωτος καὶ Ἀφροδίτης ὄργια μοιχικά. ἔνθεν Ζεὺς αὐτὸς γυναικομανῶν καὶ Γανυμήδους ἐρῶν, φιληδόνων τε θεῶν καὶ φιλοπαθῶν ἀσελγῆ μύθων ἀναπλάσματα. τοίτων δ’ ἦν ἁπάντων θάνατος αἴτιος, τέλος γὰρ καὶ συντέλειαν τοῦ παντὸς λύσιν τε καὶ διαφθορὰν τῶν ὁμοῦ καὶ τῶν σωμάτων θάνατον καὶ μὴ ἑτέραν ἢ τὴν τοῦ σώματος καὶ τῆς σαρ- κὸς ζωὴν εἶναι νομίσαντες, βίον πάσης τῶν ἀλόγων ζώων φύσεως χείρονα διῆγον. οὓς δὴ κατελεήσας ὁ παμβασιλεὺς τοῦ θεοῦ λόγος, τῷ τοῦ φιλανθρώπου πατρὸς νεύματι ἐπὶ τὴν ἄμυναν ἔσπευσεν, εἶθ’ οἷα βασιλεὺς φιλανθρωπότατος τὸν κατὰ τοῦ θανάτου ἔλεγχον δι’ ἀνθρώπου φύσεως ἐμηχανᾶτο, ζωὴ μὲν αὐτὸς τυγχάνων καὶ θεοῦ λόγος καὶ θεοῦ δύναμις, ἀλλ’ οὐ δίχα τοῦ βοηθουμένου τὸ τῶν ἀνθρώπων φόβητρον διελέγξαι κρίνας. διὸ δὴ ὅπλῳ χρηοάμενος ἀνθρωπείῳ καὶ θνητῷ σώματι ὁ ἀσώματος, τὸν θάνατον διὰ τοῦ θνητοῦ κατηγωνίσατο. ἔνθεν αὐτὸ τὸ πρῶτον τοῦ σώματος μυστήριον κατεσκευάζετο, ἔνθεν τὸ τοῦ σταυροῦ - τρόπαιον, ἔνθεν ἥ τῆς ἀθανάτου καὶ αἰωνίου ζωῆς μνήμη ἀνάμνησις αὐτοῦ ἐχρημάτιζεν. θνητῷ γὰρ ὅπλῳ κεχρημένος καὶ μέγα θαῦμα τοῖς πᾶσιν ἄπο δείξας, τρόπαιον ἀθανασίας κατὰ τοῦ θανάτου διὰ τοῦ θνητοῦ ὅπλου ἔστησεν. ἠφίει μὲν γὰρ τὸ θνητὸν εἰς βοράν τῷ θηρίῳ, τὸ δ’ αὐτίκα τῷ ἰκρίῳ προσηλοῦτο ἀνασταυρούμενον, ὡς ἂν τοῖς πᾶσιν ἡ τοῦ θνητοῦ γνωρισθείη φύοις μηδέ τινα λάθοι τὸ πραττόμενον μὴ ἀνθρώπων μὴ δαιμόνων μὴ δυνάμεων κρειττόνων. ἐχρῆν γὰρ πάντας ἀκριβῶς θνητὸν ἰδεῖν ὡς ἐν μεγίστῳ θεάτρῳ τὴν οἰκείαν ὁμολογοῦν φύσιν, ἐν ἐξῆς ἐπελθὼν ὁ θάνατος οἷα θὴρ δεινός, οἷός τις ποτ’ ἦν, ἑαυτὸν ἐλέγξῃ κἄπειτα τῆς ζωῆς ἡ δύναμις μετὰ θάνατον ἐπελθοῦσα τοῖς πᾶσιν αὖθις τὴν κατὰ τοῦ θανάτου παραστήσηται νίκην, τὸ θνητὸν ἀθάνατον ἀποδείξασα. ἠφίει τοίνυν πρὸς βραχὺ τὸ σῶμα ἡ τοῦτο διακρατοῦσα τοῦ θεοῦ λόγου δύναμις, τὸ δ’ ἀνηρτημένον ἐπὶ τοῦ ξύλου παραχρῆμα νεκρὸν ἦν, ἦν, ἀλλ’ οὐχ ὁ λόγος ὁ τῶν ἁπάντων ζωοποιὸς τὸ νεκρούμενον ἦν, τὸ δὲ θνητὸν τὴν οἰκείαν ὠμολόγει φύσιν. κἄπειτα τὸ νεκρὸν τὸ νῦν δὴ τῷ θανάτω κρατούμενον ὑπὸ τῶν ἀνθρώπων καθαιρεθὲν τῖς συνήθους ἠξιοῦτο φροντίδος. μνήματι δὲ κατὰ νόμους ἀνθρώπων παρεδίδοτο. τὸ δὲ μνῆμα σπήλαιον ἦν νεοπαγές, οπήλαιον ἄρτι κατὰ πέτρας λελαξευμένον, οὔπω σώματος ἑτέρου πεπειραμένον· ἔδει γὰρ αὐτῷ μόνῳ σχολάζειν τῷ μόνῳ παραδόξῳ νεκρῷ. θαυμαστὴ δὲ ἰδεῖν καὶ ἡ πέτρα ἐν ἡπλωμένῳ χώρῳ μόνη ὄρθιος ἀνεσταμένη καὶ μόνον ἓν ἄντρον εἴσω ἐν αὐτῇ περιέχουσα, ὡς ἂν μὴ πολλῶν γενομένη τοῦ τὸν θάνατον καταγωνισαμένου ἐπισκιάσῃ τὸ θαῦμα. ἔκειτο μὲν δὴ νεκρὸς αὐτόθι, τὸ τοῦ ζῶντος λόγου ὄργανον, λίθος A 311 113 r δ’ ἀπέκλειε παμμεγέθης τὸ σπήλαιον, καὶ πολὺς ἦν ἐν τούτῳ γαυριῶν ὁ θάνατος, ὡς ἂν καὶ τοῦτον μετὰ τῶν

ἐξ αἰῶνος ἑλὼν ὑποχείριον, ἀλλ’ οὔπω τριήμερος παρῄει χρόνος καὶ ἡ ζωὴ πάλιν ἑαυτὴν ἔφαινε μετὰ τὸν αὐτάρκη τοῦ θανάτου ἔλεγχον. εἰ γὰρ δὴ θᾶττον ἀνέστη φθάσας, οὐκ ἂν οὐδὲ τεθνεὼς ἐνομίσθη, ἀλλ’ ὅτε γε ἀληθῶς ὕψωτο καὶ ἀληθῶς ἐτεθνήκει ἐν ζρόνῳ θάνατον ἀληθῶς ὑποδέδεκτο. τότε δὴ τότε ὁ τῶν ἁπάντων ζωοποιὸς τοῦ θεοῦ λόγος τὴν πᾶσιν ἀνθρώποις ἀποκειμένην ἐλπίδα διὰ τῆς τοῦ θνητοῦ παλιγγενεσίας ἐπεδείκνυτο.

τί οὖν ἐπὶ τούτοις γίνεται; οὐκέτι ἐγώ σοι γενοίμην ἄν τῶν πραγμένων διδάσκαλος. οἱ δὲ τούτων αὐτόπται εἶεν ἂν ἀξιόχρεοι μάρτυρες οἱ δι’ αἵματος καὶ ψυχῆς τῇ θέᾳ, τῶν πεπραγμένων τὴν ἀλήθειαν πιστωσάμενοι καὶ τὴν σύμπασαν οἰκουμένην τῇ τοῦ μαρτυρουμένου δυνάμει τῆς πρὸς αὐτῶν κατηγγελμένης θεοσεβείας καταπλήσαντες. οἵδε γοῦν ἐπόπται γενόμενοι τῶν τότε πεπραγμένων τὴν αὐτοῖς ὀφθαλμοῖς καταληφθεῖσαν παλιγγενεοίαν ταῖς ἑαυτῶν παρέ- δωκαν μαρτυρίαις. οὐκ ἦν γὰρ αὐτοῖς ἄχρι λόγου καὶ φωνῆς ἀκουό- μενα τὰ πραττόμενα, ἀλλ’ ἤδη καὶ ἔργοις ἐθεωρεῖτο καὶ ἐψηλαφᾶτό γε ἀκριβῶς πρὸς τῶν ταῦτα μεμαρτυρηκότων. διὸ δὴ καὶ αὐτοψίᾳ καὶ ἀληθείᾳ τὸ ἐναργὲς κατειληφότες καὶ τῆς κατὰ τοῦ θανάτου νίκης τὰ τρόπαια τεθεαμένοι, εἰκότως ἔμαθον καταφρονεῖν τοῦ θα- νάτου, ταὐτὸ δὲ καὶ τοὺς αὐτῶν φοιτητὰς ἐδίδασκον, τῆς ἀθανάτου ζωῆς παρὰ τοῦ σωτῆρος εἰληφότες τὰ ἐχέγγυα.

ἐπίδοξος ἦν τις ἀνὴρ τῶν ἐν στρατείαις, ἀξιώματος καὶ ἀρχῆς Ῥωμαϊκῆς ἐπειλημμένος. ἐπειδὴ δὲ ὁ δοῦλος αὐτοῦ γνήσιος πάρετος τὰ μέλη οἴκοι βέβλητο, συνιδὼν οἵας ὁ σωτὴρ εἰς ἑτέρους ἐπεδείκνυτο δυνάμεις, ἰώμενος τοὺς κάμνοντας, πᾶσάν τε νόσον καὶ πᾶσαν μαλακίαν« ἀκούμενος, λογισμῷ κρίνας μὴ κατ’ ἄνθρωπον εἶναι τὸ θαῦμα πρόσεισιν ὡς θεῷ, οὐκ εἰς τὸ φαινόμενον ἀπιδὼν τοῦ σώματος ὄργανον, δι’ οὐ τὰς ὁμιλίας ἀνθρώποις ἐποιεῖτο, εἰς δὲ τὸν ἀφανῆ θεὸν τὸν διὰ τοῦ θνητοῦ τὰς οἰκείας ἀρετὰς ὑποφαίνοντα. διὸ προσέπεσε καὶ προσεκύνησε καὶ λιπαρῶν ἐδεῖτο καὶ αὐτὸς ἐπὶ τῷ παιδὶ τῆς θεικῆς εὐεργεοίας τυχεῖν.

μεθ’ ὅσης μὲν οὖν ἐξουσίας ἡ τοῦ σωτῆρος προενήνεκται φωνὴ ὅσην τε ἀρετὴν παρέστησεν ὁπόσης τε πεπλήρωτο δυνάμεως ὅσον τε καὶ τὸ φιλάνθρωπον καὶ πρόχειρον εἰς εὐεργεσίαν, ὡς ἐξ ἑτοίμου ἐπαγγείλασθαι τὴν αὐτοῦ παρουσίαν, οἷον δὲ καὶ τὸ θαῦμα τῆς εὐεργεσίας, οὐδ’ ἔστιν ἐπαξίως νοῆσαι. τὸ γὰρ μὴ πλέον φθέγξασθαι τῷ χιλιάρχῳ ἢ »ὡς ἐπίστευσας γενηθήτω σοι« καὶ ἅμα λόγῳ καὶ τὴν ἴασιν τῷ αὐτοῦ παιδὶ παρασχεῖν καὶ ἀπαλλάξαι παραχρῆμα τοῦ νοσεῖν τὸν παρὰ βραχὺ τῷ θανάτῳ κατεσχημένον, πῶς οὐ θεὸν ἀληθῶς διὰ θνητῆς φωνῆς φθεγξάμενον παρίστη; […] ἀλλ’ εἰ πρὸς τοῦτό τις δυσπίστως ἔχει διὰ τὴν τοῦ θαύματος ὑπερβολήν, ἀλλ’ οὐκ ἐπὶ τῆς προρρήοεως σκήπτοιτο ἂν εὐλόγως, ἐφ’ ᾗ μείζων ὁ τῆς πράξεως ἔλεγχος ἀποδειζθήσεται, εἴ τις ἐν νῷ λάβοι, ὡς τότε μὲν εἷς Ῥωμαῖος ἦν ὁ τῷ σωτῆρι προσεληλυθὼς χιλίαρχος ὁ δὴ μείζονα καὶ εὐγνωμονεστέραν τοῦ Ἰουδαίων ἔθνους ἐνδειξάμενος τὴν εἰς αὐτὸν ὁμολογίαν, ὁ δ’ ἡμέτερος σωτὴρ πολλοὺς ἀνθ’ ἑνὸς ἔσεσθαι τοὺς κατ’ ἐκεῖνον μέλλον- τας αὐτῷ

προσιέναι ἐκ τῶν τε πρὸς ἕω καὶ ἀνατολὴν κλιμάτων τῶν τε κατὰ δυόμενον ἥλιον οἰκούντων θεσπίζει, τοὺς διὰ τῆς εἰς αὐτὸν προπάτορσι τε καὶ ὁμολογίας τῆς ἴσης παρὰ θεῷ τιμῆς τοῖς Ἑβραίων προπάτορσι καταξιωθησομένους. ὅτι δὴ κἀκείνων ὁ προπάτωρ αὐ- τὸς δὴ ὁ βοώμενος Ἀβραὰμ ἐκ πατέρων ὁρμώμενος δειοιδαιμόνων μετεβάλετο τὸν βίον, τῆς μὲν πολυθέου πλάνης ἀναχωρήσας, ἕνα δὲ τὸν ἐπὶ πάντων θεὸν ἐπιγνοὺς, ὁ ὁδὶ αὐτῷ καὶ τοῖς αὐτοῦ παισὶ τῷ Ἰόαὰκ καὶ τῷ Ἰακὼβ ὁμοίους ἔσεοθαι μυρίους καθ’ ὅλης τῆς οἰκουμένης τῶν ἀνθρώπων καὶ τούτων μάλιστα τὰ πρὸς ἕω ἔθνη καὶ τοὺς κατὰ δυόμενον ἥλιον οἰκοῦντας προαγορεύει προστίθησί τε τούτοις καὶ τὸ μέγιοτον τῆς προρρήσεως· αὐτοὶ Ἰουδαῖοι οἱ τῶν θεοφιλῶν ἐκείνων ἀπόγονοι, τὸν Ἀβραὰμ αὐχοῦντες καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, διὰ τὴν εἰς αὐτὸν ἀντιλογίαν τε καὶ ἀπιστίαν, ὡς ἂν τοῦ τῆς γνώσεως φωτὸς ἀπεστερημένοι, ἀπόβλητοι γενήσονται εἰς τὸ σκό- τος τὸ ἐξώτερον, τὴν ἄγνοιαν αὐτῶν καὶ τὴν ἐσχάτην ἀμαθίαν τοῦ τε σωτηρίου φωτὸς τὴν στέρησιν ὦδέ πη προαναφωνήσας. ἔνθα δὴ ἐπιστῆσαι τοῖς ἀποτελέσμασι προσήκει τὸν νοῦν ὀφθαλμοῖς τε αὐτοῖς παραλαβεῖν, ὡς Ἰουδαῖοι μὲν οἱ τῶν εἰρημένων θεοφιλῶν ἀνδρών γένος εἶναι σεμνυνόμενοι ἔκβλητοι γεγόνασιν οὐ τῆς τοῦ θεοῦ βασι- λείας μόνον, ἀλλὰ καὶ τῆς αὐτῶν ἱερᾶς καὶ βασιλικῆς μητροπόλεως.

ἀντὶ δὲ ἑνὸς τοῦ πάλαι τῷ σωτῆρι προσεληλυθότος χιλιάρχου ἅφατος ἀνδρῶν ἀριθμὸς ἐξ ἁπάντων τῶν ἐθνῶν οὐ χιλίαρχοι ἀλλὰ καὶ τὸ τοῦ ‘Ρωμαϊκοῦ στρατοπέδου πλῆθος ὡς καὶ μυρίοι ἄρχοντές τε καὶ ἡγεμόνες οἱ τῶν ἐθνῶν καὶ τῶν χωρῶν κρατοῦντες καὶ ἄλλοι τινὲς τιμῇ καὶ ἀξιώματι τούτων ὑπέρτεροι οἱ ἐν τοῖς βασιλείοις σεμνυνόμενοι ὁμοίως ἐκείνω τώ χιλιάρχῳ τῷ θεοῦ Χριστῷ προσιόντες καὶ διὰ τῆς αὐτοῦ τὸν τῶν παρ’ Ἑβραίοις λαμψάντων θεοφιλῶν ἀνδρών θεόν, τῆς ἴσης αὐτοῖς ἐκείνοις ἠξίωνται παρὰ τῷ παμβασιλεῖ θεῷ ἀμοιβῆς.

πολλοῦ γὰρ ὄχλου ἐπικειμένου τῷ Ἰησοῦ ἐνέβη, φησίν, εἰς ἕν τῶν πλοίων, ὃ ἦν Σίμωνος καθίσας δὲ ἐν αὐτοὶ, ἡρμήνευσε τοῖς ὄχλοις. μετὰ δὲ αὐτάρκη διδασκαλίαν ἐπειδὴ ἔδει καὶ θεικὸν ἔργον προστιθέναι τοῖς λόγοις ὠφέλιμον τοῖς ὁρῶσι, παρακελεύεται μὲν τῷ Πέτρῳ χαλάσαι εἰς ἄγραν τὰ δίκτυα, ὁ δὲ εἶπεν αὐτώ· »δι’ ὅλης νυκτὸς κοπιάσαντες οὐδὲν εὕρομεν. ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὰ δίκτυα«, καὶ τὰ προστεταγμένα ἐποίει. ὡς δὲ »συνέκλεισαν πλῆθος ἰχθύων πολὺ« καὶ διερρήγνυτο τὰ δίκτυα τώ πλήθει βαρούμενα, προσκαλοῦνται μὲν εἰς βοήθειαν τοὺς ἐν τῷ γειτνιῶντι πλοίῳ, εἶτ’ ἀνελκύσαντες τοὺς ἰχθύας πληροῦσιν ἄμφω τὰ σκάφη, ὡς κινδυνεύειν αὐτὰ βυθισθῆναι, ἐφ’ οἷς ὁ Πέτρος ἀποθαυμάσας ἐξεπλάγη ἀνάξιόν τε ἑαυτὸν τῆς σωτηρίου ἐπιβάσεως ὡμολόγει. […] ὁ δ’ ὥσπερ ἐπιδείξας αὐτῷ τὴν τοῦ μέλλοντος εἰκόνα διασαφεῖ καὶ τὴν ἑρμηνείαν, καί φησι πρὸς αὐτὸν ὁ Ἰησοῦς· »μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ξωγρῶν«· Γαλιλαίους ἄνδρας δρας οὐδὲν πλέον τῆς Σύρων φωνῆς ἀλλὰ καὶ τὸ ἐπιτήδευμα ταπεινὸν καὶ εὐτελὲς τῆς ἁλιείας μετερχομένους εἰκότως ὁ σωτὴρ ἡμῶν θηρευτὰς ἀνθρώπων καὶ κήρυκας τῆς αὐτοῦ διδασκαλίας ποιήσειν ἐπηγγέλλετο καὶ πεποίηκεν οὐ ψευσάμενος τὴν ὑπόσχεσιν, παριστὰς θεοῦ

δύναμιν ἐνεργητικὴν πράγματος πᾶσαν ἀνθρώπων ἀρετὴν καλύπτοντος. εἰ μὲν γὰρ λογίους τινὰς καὶ σοφοὺς ἢ καὶ τῶν παρὰ Ἰουδαίοις ἀνθρώπων ἐνδόξων καὶ πλουσίων προσαγόμενος τούτοις ἐκέχρητο διδασκάλοις τῶν αὐτῦ λόγων, κἂν εἰκὸς ἦν ἀνθρωπινώτερον ἐπινενοῆσθαι τὸ πρᾶγμα. οὕτω γοῦν οἱ πλείους τῶν ἀνθρώπων εἰώθασιν ὑποτάττεσθαι ἢ χρήμασιν ὑπὸ πλουσίων δελεαξάμενοι ἢ λόγων περιβολῇ καὶ φαντασίᾳ σοφίας ἀπατώμενοι ἢ ὑπεροχὰς ἐνδόξων προσώπων καταπληττόμενοι. ὁ δὲ μὴ τοιούτοις χρησάμενος μαθηταῖς, τοὐναντίον δὲ πένησι καὶ ἀδόξοις καὶ τὸν λόγον ἰδιώταις Σύροις τε τὴν φωνὴν καὶ τὸ σχῆμα ταπεινοῖς καὶ εὐτελέσιν, ἔργῳ δῆλος ἦν μόνῃ τῇ θε·ι·κῇ δυνάμει χρώμενος, ἣν ἐνεδείξατο πρῶτα μὲν φωνῇ μιᾷ προσκαλεσάμενος αὐτοὺς καὶ ἀκολούθους αὐτοῦ καταστήσας κἄπειτα ἐπαγγειλάμενος σαγηνευτὰς καὶ κήρυκας ἀνθρώπων ποιήσειν αὐτούς, ἵν ἀνθ’ ὧν εἶχον δικτύων λαβόντες παρ’ αὐτοῦ τὴν ἀπὸ παντοίων λόγων νομικῶν τε καὶ προφητικῶν τῶν τε τῆς ἐνθέου διδασκαλίας αὐτοῦ πλακεῖσαν σαγήνην ἐμβάλωσιν εἰς τὴν τοῦ ἀνθρωπείου βίου θάλατταν καὶ περιβόλωσιν ὅσους ἂν εὕρωσιν, πληροῦντες τὰ ἑαυτῶν λογικὰ δίκτυα παντὸς γένους λογικῶν ἰχθύων.

ἀλλὰ ταῦτα μέν, διὰ φωνῆς τότε ἀκουόμενα, ῥήματα καὶ καὶ πλέον ὑπῆρχεν οὐδέν. τῆς ὁ ἐνθέου δυνάμεως τὸ ἔργον οὐκ εἰς μακρὰν παρεστήσατο, αὐτὰ δὴ ταῦτα τὰ διὰ τῶν λόγων προηγορευμένα μένα τοῖς ἔργοις ἐπιτελέσας, ὡς ἐν βραχεῖ χρόνῳ τὴν σύμπασαν ὁμοῦἀνθρώπων οἰκουμένην μυρία πλήθη τῶν σαγηνευθέντων ὑπὸ τῶν πενήτων καὶ ἰδιωτῶν τούτων ἀνδρῶν κτήσασθαι πληρωθῆναί τε ἐκκλησιῶν πάντα τόπον Ἑλλήνων τε καὶ βαρβάρων διὰ μίαν ἐκείνην ἐπαγγελίαν τῆς θεικῆς φωνῆς δι’ ἧς οὐ διδάξειν τοὺς ἑαυτοῦ μαθητάς, ἀλλ’ αὐτὸς ποιήσειν αὐτοὺς ἁλιέας ἀνθρώπων ἐπηγγείλατο, ὥστ’ οὐ προέγνω μόνον οὐδὲ προέφησε τὸ μέλλον, ἀλλὰ καὶ ποιητὴς τῆς τηλικαύτης γνώσεως ἀποπέφανται, εἶπέ τε τῷ λόγῳ καὶ πεποίηκε τῷ ἔργῳ, παρέστησέ τε τὸ μέλλον διὰ συμβόλου καὶ εἰκόνος καὶ δι’ αὐτῆς ἐνεργείας ἀπεπλήρωσεν. τοῖς γὰρ πάλαι πρότερον ἐν σκοτίᾳ φωτὸς ἀληθείας καὶ θεοῦ γνώσεως ἐν νυκτὶ καταπονηθεῖσι καὶ μηδένα πρὸς σωτηρίαν θηρεῦσαι δεδυνημένοις ἐπιλάμψας τὸ ἑαυτοῦ φέγγος ἐν ἡμέρᾳ καὶ φωτὶ γενομένοις προστάττει, οὐ τῇ οἰκείᾳ ἐπιστήμῃ, τῇ δὲ αὐτοῦ ῥήματι θαρσοῦντας ἐπιβάλλειν τῷ βυθῷ τὰ δίκτυα, οἱ δὲ τοσαῦτα συνήγαγον ἰχθύων πλήθη, ὡς διαρρήγνυσθαι μὲν τὰ θηρευτικὰ ὄργανα, κινδυνεύειν δὲ εἰς βυθὸν χωρεῖν ἀπὸ τοῦ φόρτου τὰ πλοῖα.

ἐπεὶ δὲ ταῦ οὕτως πραττόμενα τὸν Πέτρον εἰς ἔκπληξιν καὶ φόβον οὐ τὸν τυχόντα ἦγεν, ἀλλὰ ταῦτά σε, φησὶ πρὸς αὐτὸν ὁ σωτήρ, μήπω ἐκπληττέτω. παιδιαὶ γὰρ ἔτι ταῦτα καὶ μελλόντων εἰκόνες. οἵδε μὲν γὰρ ἰχθύες ἄναυδοι καὶ ἄλογοι καὶ ταῦτα σκάφη καὶ δίκτυα ἐξ ἀψύχου ὕλης κατεσκευασμένα, ἀλλ’ οὐ τοιαῦτα τούτων τὰ παραδείγματα. μικρὸν γοῦν ὕστερον, μᾶλλον δὲ ἐντεῦθεν ἤδη καὶ »ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν«, τῆς μὲν μοχθηρᾶς ταύτης καὶ ἀνωφελοῦς ἀπαλλαγεὶς ἁλιείας, λογικῶν δὲ ζώων ἀντὶ τῶν ἀλόγων θηρευτὴς γινόμενος, κα) οὐκέτι ἐκ βυθῶν θαλάττης, ἐκ δὲ τῆς ἁλμυρὰς τοῦ βίου πικρίας ἐκ σκοτίων τε μυχῶν ἀθεότητος καὶ κακίας εἰς φῶς νοερὸν καὶ καθαρὰν πνοὴν ἀνελκύσεις τοὺς

ὑπὸ σοῦ θηρευθησομένους, μᾶλλον δὲ ζωγρήσεις αὐτοὺς διὰ τοῦ ζωὴν αὐτοῖς ἀλλ' οὐ θάνατον προξενεῖν. οἱ μὲν γὰρ ἐκ πελάγους ἰχθύες ἐν σκότω καὶ βυθῷ πρότερον ζῶντες αὐτίκα φωτὸς καὶ πνοῆς μετασχόντες ἀπόλλυνται, οἱ δὲ ἐξ ἀνθρώπων ὑπὸ σοῦ θηρευθησόμενοι ἐκ σκότους ἀγνοίας μεταβαλόντες ἐπὶ ζωὴν ἔνθεον ἀγρευθήσονται διὸ καὶ »ζωγρῶν ἔσῃ ἀπὸ τοῦ νῦν ἀνθρώπους« φησὶν. [...]

ταῦτα θεικῇ δυνάμει προηγόρευσεν ὁ σωτήρ, ταῦτα τοῖς ἔργοις πιστὰ καὶ ἀληθῆ ἐπέδειξεν ὁ αὐτός. ὁ γοῦν ἀμφιβολεὺς ἐκεῖνος, ὁ ἁλιεύς, ὁ Σύρος ἀντὶ τῆς τῶν ἰχθύων θήρας ὅσας ἀνθρώπων ἐσαγήνεῦσε μυριάδας λόγων ἀπορρήτων δικτύοις θεικῇ δυνάμει πλακεῖσιν, οὐκ ἔστιν ἀριθμῷ περιλαβεῖν δυνατόν. ὄψις δ' ἀδήλων τὰ φαινόμενα. ἃ γὰρ ὁ μακρὸς αἰὼν τοῦ βίου πρὸ τῆς τοῦ σωτῆρος θεοφανείας οὐκ ἤνεγκεν, ἃ μήτε Μώσης ὁ τῶν Ἑβραίων νομοθέτης μήτε οἱ μετὰ Μωσέα τοῦ θεοῦ προφῆται μήτε μυρίοι ἄλλοι πάλαι τὴν ἔνθεον διδασκαλίαν τοῖς ἀνθρώποις ἀναφωνήσαντες θηρευταὶ πολλὰ καμόντες διὰ πάσης νυκτὸς τῆς πρὸ τῆς ἐπιφανείας αὐτοῦ καταπράξασθαι μὴ δεδύνηνται, ταῦτα ὁ Γαλιλαῖος, ὁ πένης, ὁ βάρβαρος τὴν φωνήν, αὐτὸς ἐκεῖνος ὁ Πέτρος κατεπράξατο. δεῖγμα δὲ τῶν τότε ἐπιτελεσθέντων πρὸς Πέτρου αἱ εἰς δεῦρο διαλάμπουσαι ἐκκλησίαι πολὺ μᾶλλον τῶν τότε σκαφῶν λογικῶν ἰχθύων πληθύουσαι, οἵα ἡ κατὰ Καισάρειαν τῆς Παλαιστίνης τυγχάνει, οἵα ἡ ἐπὶ Ἀντιοχείας τῆς κατὰ τὴν Συρίαν, οἵα ἡ ἐπ' αὐ- τῆς τῆς Ῥωμαίων πόλεως. τάσδε γὰρ αὐτὸς ὁ Πέτρος τὰς ἐκκλησίας καὶ τὰς ἀμφ' αὐτὰς ἁπάσας συστησάμενος μνημονεύεται, καὶ τὰς ἐπ' Αἰγύπτου κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν πάλιν αὐτός, οὐ μὴν δι' αὐ- τοῦ, διὰ δὲ Μάρκου τοῦ μαθητευθέντος αὐτῷ κατεστήσατο. αὐτὸς μὲν γὰρ ἀμφὶ τὴν Ἰταλίαν καὶ πάντα τὰ ἀμφὶ ταύτην ἔθνη ἐσχόλαζεν, τὸν δ' αὐτοῦ φοιτητὴν Μάρκον τῶν κατ' Αἴγυπτον διδάσκαλον καὶ σαγηνευτὴν ἀποδέδειχεν.

τὸν δὲ νοῦν ἐπίστησον καὶ τοῖς λοιποῖς τοῦ σωτῆρος ἡμῶν μαθηταῖς, οὓς ἐπαγ- γειλάμενος ποιήσειν ἁλιεῖς ἀνθρώπων, ἔργῳ τὸν λόγον ἔδειξεν. εἰσέτι γοῦν καὶ νῦν ὁ αὐτὸς ἐνεργεῖ καὶ ποιεῖ, πανταχοῦ γῆς παρὼν καὶ πᾶσάν τὴν ἀνθρώπων οἰκουμένην τῶν αὐτοῦ λογικῶν δικτύων πληρῶν, ἐκ παντὸς γένους λογικῶν ἰχθύων βαρβάρων τε καὶ Ἑλλήνων, ἀνασπῶν ἐκ τοῦ τῆς κακίας βυθοῦ καὶ τοῦ τῆς ἀθεότητος τὰς τῶν ἀνθρώπων ψυχάς, ἀνέλκων τε αὐτὰς ἐφ' ἑκάστης ἡμέρας ἐφ' ἑκάστης ὥρας ἐπὶ τὸ φῶς τῆς ὑπ' αὐτοῦ παραδοθείσης ἐνθέου γνώσεως . . . . . .

οὕτω δὲ πάλιν καὶ Ἰωάννου τοῦ υἱοῦ Ζεβεδαίου, ὃν ἐπὶ τῆς ἁλιείας ἅμα τῷ πατρὶ καὶ τώ ἀδελφώ καταρτίζοντα τὰ δίκτυα θεασάμενος τῆς αὐτῆς ἠξίωσε κλήσεως τε καὶ ἐπαγγελίας, καθ' ὅλης τῆς οἰκουμένης ἐκλάμπει τοὔνομα καὶ οἱ λόγοι τὰς τῶν ἀνθρώπων ψυχὰς καταυγάζουσι διὰ τῆς ὑπ' αὐτοῦ παραδοθείσης τοῦ γραφῆς παντοίᾳ γλώττῃ Ἑλληνικῇ τε καὶ βαρβάρῳ μεταβληθείσης εἰς ἐξάκουστόν τε πᾶσι τοῖς ἔθνεσιν ἐφ' ἑκάστης ἡμέρας κηρυττομένης.

καὶ ἐπειδήπερ ἐν προφητείαις ἀναγράπτοις εἰς αὐτοῦ πρόσωπον ἄρηται προφητικῶς· αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆσ«, διὰ τοῦτο ὡς ἂν τῆς προφητικῆς

μαρτυρίας ἔργῳ νῦν πληρωθείσης, φησὶ τοῖς αὐτοῦ μαθηταῖς· […] ἐδόθη μοι πᾶσα ἐξουσία ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς« […] . τῶν μὲν γὰρ κατ’ οὐρανὸν ἐξ αἰῶνος ἐπεῖχε τὴν βασιλείαν, τῶν δ’» ἐπὶ γῆς« νῦν αὐτώ δεδόσθαι φησὶ τὴν ἀρχὴν »ὑπὸ πατρὸς« ἀκολούθως τῷ αἴτησαι παρ’ ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου« πάλαι μὲν γάρ, ὡς Μώσης μαρτυρεῖ, »ὅτε· ὁ ὕψιστος ἔθνη, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων« ἄγγελοι θεοῦ ἦσαν πάντας τοὺς πρότερον ἐπὶ δὲ τῆς ἀνθρωπότητος ἐπὶ τὴν πολύθεον πλάνη πλάνην καὶ τῶν ἐπιστατούντων ἀγγέλων μηδὲν πρὸς τοῦτο ἐπικουρεῖν δυναμένων, αὐτὸς δὴ λοιπὸν ὁ κοινὸς τῶν ὅλων σωτὴρ διὰ τῆς νείας μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην διδάσκει, ὕτι μηκέτ’ ἀγγέλοις ἀλλ’ αὐτῷ πρὸς τοῦ πατρὸς ἡ τῶν ἐπὶ γῆς ἐθνῶν ἐξουσία δέδοται. διὸ τοῖς αὐτοῦ μαθηταῖς οὐ πρότερον, ἀλλὰ νῦν παρεκελεύσατο περιελθεῖν καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη. ἀναγκαίως δὲ προστόθησι καὶ τὸ μυστήριον τῆς ἀποκαθαρσεως. ἐχρῆν γὰρ τοὺς ἐξ ἐθνῶν ἐπιστραφέντας »παντὸς μολυσμοῦ« καὶ μιάσματος διὰ τῆς αὐτοῦ δυνάμεως ἀποκαθαόρεσθαι, ἐκ τῆς δαιμονικῆς καὶ εἰδωλολάτρου πλάνης ἐρρυπωμένους μιάσμασί τε παντοίοις ἐνεσχημένους ἄρτι τε πρῶτον ἐξ ἀκολάστου καὶ παρανόμου καὶ παρανόμου βίου μεταβεβλημένους. τούτους δὲ καὶ διδάσκειν παραινεῖ μετὰ τὴν ἀποκάθαρσιν τὴν διὰ τῆς αὐτοῦ μυστικῆς διδασκαλίας, οὐ τὰ Ἰουδαϊκα παραγγέλματα οὐδὲ τὰ παρὰ Μωσεῖ νόμιμα ἀλλ’ ὅσα &αὐτὸς αὐτοῖς ἐνετείλατο φυλάττειν. ταῦτα δ’ ἦν, ἃ δὴ συμφώνως οἱ πάντες ἐκπεριελθόντες πάντα τὰ ἔθνη παραδεδώκασι πᾶσι τοῖς γνωρίμοις καὶ πάσαις ταῖς καθ’ ὅλης τῆς οἰκουμένης ἐκκλησίαις. ἀναγκαίως δὲ αὐτοὺς προτρέπει καὶ προθυμοτέρους ἀπεργάζεται ἐπὶ τὸ θηρεῦσαι περιελθεῖν τε πάντα τὰ ἔθνη καὶ μαθητεῦσαι πᾶν γένος ἀνθρώπων, δι’ ἧς πεποίηται πρὸς αὐτοὺς ὑποσχέ σεως εἰπών· »καὶ ἰδοὺ ἐγώ εἰμι μεθ’ ὑμῶν«. […] τούτῳ δὲ τῷ τῆς ἐπαγγελίας λόγῳ ἔργον ἐπιθεῖς θεϊκῇ τε δυνάμει ἑκάστῳ συνὼν καὶ πᾶσιν ὁμοῦ παρὼν συμπνέων τε αὐτοῖς καὶ συνεργῶν ἐπιστώσατο τὸ κατόρθωμα, διδασκάλους αὐτοὺς τῶν ἐθνῶν ἁπάντων τῆς ὑπ’ αὐτοῦ παραδοθείσης θεοσεβείας ἀποδεικνύμενος. ταύτῃ γοῦν ἐπιθαρσήσαντες τῇ ἐπαγγελίᾳ„ ἔργῳ τοὺς αὐτοῦ λόγους ἐπλήρουν· αὐτίκα μηδὲν ὑπερθέμενοι σὺν πάσῃ προθυμίᾳ προῆλθον ἐπὶ τὴν τῶν ἐθνῶν διδασκαλΊαν, ἔργῳ μὲν αὐτῷ παραλαβόντες καὶ ὀφθαλμοῖς ὁρῶντες ζῶντα τὸν πρὸ μικροῦ θανόντα, καὶ ὃν ἐξωμόσαντο ἀρνησάμενοι διὰ τὰ συμβεβηκότα, τοῦτον αὐτὸν ἐναργῶς καὶ αὐτοπροσώπως παρόντα καὶ συνήθως προσδιαλεγόμενον ἐπαγγελλόμενόν τε αὐτοῖς τὰ προλελεγμένα, οὐκ ἔχοντες δὲ ὅπως ἀπιστήσωσι ταῖς ἐπαγγελίαις διὰ τὴν θεωρουμένην ὄψιν. ἦ γὰρ ἄν καὶ ἀπώκνησαν πρὸς τὸ ἐπίταγμα ἀγροικίαν ἑαυτοῖς καὶ λόγων ἰδιωτείαν συγγινώσκοντες, δι’ ἥν τάχα ἄν καὶ παρῃτήσαντο, εἰκότως λογιζάμενοι, ὡς οὐχ οἷόν τε ἦν Σύρους τὴν γλῶτταν καὶ πλέον ἁλιείας μηδὲν ἐπισταμένους, διδασκάλους Ἑλλήνων ὁμοῦ καὶ Ῥωμαίων Αἰγυπτέων τε καὶ περςῶν καὶ τῶν λοιπῶν βαρβάρων ἐθνῶν καταστῆναι ἀντινομοθετῆσαί τε τοῖς ἁπανταχοῦ γῆς νομοθέταις τε καὶ βασιλεῦσι τἀναντία τοῖς, περὶ τῶν πατρῴων θεῶν ἐκ τοῦ παντὸς αἰῶνος δεδομένοις. ἀλλ’ οὐκ ἐξῆν αὐτοῖς ταῦτα διανοεῖσθαι, ἀκούσασι μὲν θεοῦ φωνῆς λεγούσης αὐτοῖς » ἰδοὺ ἐγὼ μεθ’ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας «, ὁρῶσι δὲ ἐναργῶς τὴν τοῦ λαλοῦντος θεότητα κρείττονα

θανάτου φανεῖσαν. διὸ καὶ δέος αὐτοῖς τῆς παρακοῆς εἰσῄει, ἔνθεν ὁμόσε τοῖς κινδύνοις ἐχώρουν, τῆς μετὰ θάνατον ζωῆς παρὰ τοῦ διδασκάλου λαβόντες τὰ ἐχέγγυα, προῆλθόν τε εὐθαρςῶς ἐπὶ τὴν τῶν ἁπάντων ἐθνῶν περίοδον, τοῦ σφῶν διδασκάλου τὰς ὑποσχέσεις ἔργοις πιστούμενοι . . . . . .

ἅπαξ οὖν ἀποφηναμένου δεῖν κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν ἐπὶ πάντα τὰ ἔθνη, εἰ μὴ τοὖργον ἐπηκολούθηκε τῷ λόγῳ, μηδὲ τὰ τῆς ἐκ νεκρῶν ἀναβιώσεως αὐτοῦ πιστευέσθω, εἰ δὲ εἰσέτι καὶ νῦν τὰ τῆς προρρήσεως εἰς ἔργον χωρεῖ ὅ τε λόγος αὐτοῦ ζῶν καὶ ἐνεργῶν καθ’ ὅλης τῆς οἰκουμένης ὀφθαλμοῖς ὁρᾶται, ὥρα μηδὲ τῷ τὸν λόγον προεμένῳ ἀπιστεῖν. οὗ γὰρ ἡ δύναμις ζῶσα καὶ ἐνεργὴς ὁρᾶται, τοῦτον ἀνάγκη πᾶσα πολὺ πρότερον ὁμολογεῖν ζῆν καὶ θεοῦ ζωὴν τοῦτον ἐκτελεῖν, οὗ ζῶντα τὰ ἔργα σύμφωνα ταῖς φωναῖς ἀποδείκνυται. πᾶσαν γοῦν ἀκοὴν παντοίων ἐθνῶν οἱ αὐτοῦ λόγοι διῆλθον, μεταβαλλόμενοι καὶ μεθερμηνευόμενοι εἰς παντοίαν γλώτταν Ἑλληνικήν τε καὶ βάρβαρον, ὡς ἐξάκουστον αὐτοῦ τὴν διδασκαλίαν μυρία πλήθη τῶν πρότερον ἐν πολυθέῳ πλάνῃ καὶ εἰδωλολατρείᾳ πλημμελῶς καὶ ἀσεμνως βιούντων. οὐ πρότερον δὲ ἄφεσιν εἶτα μετάνοιαν, ἀλλὰ μετάνοιαν πρῶτον εἶτα τὴν ἄφεσιν κηρύττειν παρακελεύεται. τοῖς γὰρ γνησίαν πρότερον κακῶν μετάνοιαν ἐνδειξαμένοις ἡ σωτήριος χάρις τὴν συγχώρησιν τῶν πεπραγμένων ἐδωρήσατο, δι’ οὓς καὶ τὸν θάντον ἀνεδέξατο, λύρον ἑαυτὸν ἐπιδοὺς καὶ ἀντίψυχον τῶν μελλόντων δι’ αὐτοῦ σωθήσεσθαι. οὕτω δῆτα οἱ αὐτοῦ μαθηταί, ἄνδρες ἄπειροι λόγων ὄντες καὶ πάμπαν ἰδιῶται πένητές τε καὶ εὐτελεῖς τὸ σχῆμα, τῇ δυνάμει τοῦ μετὰ θάνατον θεωρουμένου καὶ ἐμφανῶς αὐτοῖς συναυλιζομένου ἐπιθαρσήσαντες ἀπὸ τῆς Ἰερουσαλὴμ πόλεως ἀρξάμενοι κατὰ τὰς αὐτοῦ παρακελεύσεις ἐπὶ πάντα προῆλθον τὰ ἔθνη καὶ τὰ προστεταγμένα ἐποίουν, κηρύττοντες μετάνιαν τοῖς πᾶσι καὶ λύσιν τῶν πρότερον τῶς ψυχῆς ἁμπλακημάτων . . . . .

. . . . . τὴν πρὸς θεὸν γνῶσίν τε καὶ φιλίαν, ἣν τοῖς αὐτοῦ προὐξένει μαθηταῖς, τήν τε τῆς ψυχῆς ἀταραξίαν καὶ λογισμοῦ τὸ γαληνὸν καὶ εὐσταθὲς τοῦτον ἀποκαλῶν τὸν τρόπον.

συνηγμένων μὲν οὖν ἐπὶ τὸ αὐτὸ ἐν τοῖς Ἱεροσολύμοις τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους ἀρχιερέων τε καὶ νομοδιδασκάλων, αὐτὸς δὲ ἐν αὐτῷ τῷ ἱερῷ ποιούμενος τὰς διατριβὰς τὰ μέλλοντα αὐτοῖς κατ’ αὐτοῦ τολμασθαι καὶ τὸν ἐπὶ τῇ τόλμῃ καταληψόμενον αὐτοὺς ὄλεθρον ἐπεσκιασμένως τοῦτον τὸν τρόπον διὰ τῆς παραβολῆς προηγόρευσεν . . . . . ἔστι δὲ ἡ παραβολὴς τῇ παρὰ τῷ προφήτῃ Ἠσαΐᾳ, παρ’ ᾧ τοῦτον ἔχει τὸν τρόπον· »ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι καὶ γραγμὸν περιέθηκα καὶ ἐχαράκωσα καὶ ἐφύτευσα καὶ πύργον ἐν μέσῳ αὐτοῦ ᾠκοδόμησα καὶ προλήνιον ὤρυξα καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας«. ἀλλ᾽ ἡ μὲν παρὰ τῷ προφήτῃ τὸν ἀμπελῶνα διαβέληκεν, ὃν καὶ ἠρμήωευσε τίς ποτε ἦν, εἶπών·»ὁ γὰρ ἀμπελὼν κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ καὶ ἄνθρωπος τοῦ Ἰούσα νεόφυτον ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι

κρίσιν, ἐποίησεν δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυήν«. ἡ δὲ τοῦ σωτῆρος παραβολὴ εἴρηται μὲν ὁμοίως ἐκείῃ τῇ τοῦ προφήτου, ὡς ἂν γνωρισθείη καὶ θεωρηθείη τοῖς παροῦσι καὶ ἀκροωμένοις· οὐ μὴν περὶ τοῦ ἀμπελῶνος λέλεκται, ἐπειδὴ ὁ προφήτης τὴν περὶ τούτου πρόρρησιν προλαβὼν εἰρήκει. ἅπερ δὲ τῷ προφήτῃ σεσιώπητο, ταῦτα αὐτὸς ἐν τῇ παραβολῇ τίθησιν, λέγω δὲ τὰ περὶ τῶν γεωργῶν τοῦ ἀμπελῶνος. οὗτοι δὲ ἦσαν οἱ πρεσβύτεροι τοῦ λαοῦ καὶ οἱ ἀρχιερεῖς ἄρχοντές τε καὶ διδάσελοι. οἳ δὴ καὶ τῷ ὅλῳ πλήθει παραίτιοι γεγόνασι τῆς τῶν πονηρῶν καρπῶν ἐκφυῆς, δἰ οὓς καὶ ὁ ἀμπελὼν καταλέλειπται ἔρημος, τουτέστι τὸ πᾶν αὐτῶν ἔθνος, καὶ ὁ τούτου καθῃρέθη φραγμός, οἱ πάλαι δηλαδὴ τοῦ ἔθνους προμαχοὺῦντες καὶ τὸν λαὸν φυλάττοντες σὺν αὐτῷ τῷ τόπῳ, ὅ τε ἐν αὐτῷ πύργος αὐτὸς ὁ νεώς, καὶ ἡ ληνὸς τὸ θυσιαστήριον. ταῦτα γοῦν πάντα ἅρσην ἐκ βάθρων ἤρθη διὰ τὴν τῶν γεωργῶν μιαιφονίαν, οἳ δὴ πρώτους δούλους καὶ δευτέρους ἀποσταλέντας πρὸς αὐτούς, δηλαδὴ τοὺς κατὰ χρόνους προφήτας, ἀνεῖλον. μαρτυρεῖ τῷ λόγῳ καὶ ἡ παλαιὰ γραφὴ καὶ προφητῶν δὲ Ἠλίας ἐν εὐχῇ πρὸς τὸν θεὸν λέγων· »κύριε τοὺς προφήτας σου ἀπέκτειναν καὶ τὰ θυσιαστήσιά σου κατέσκαψαν κἀγὼ ὑπελείφθην μόνος καὶ ζητοῦσι τὴν φυχήν μου λαβεῖν αὐτήν«. ταῦτα γοῦν ὁ προφήτης τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους διὰ τῆς εὐχῆς κατηγορεῖ, οἱ δὲ μὴ ἀρκεσθέντες τῇ κατὰ τῶν προθητῶν μιαιφονίᾳ ὕστερον καὶ αὐτὸν τὸν υἱόν, τουτέστι τὸν τοῦ θεοῦ υἱόν, οὐκ ἀγνοοῦντες ἀλλ᾽ εὖ μάλα καὶ ἀκριβῶς εἰδότες αὐτὸν εἶναι τὸν κληρονόμον ἀνεῖλον. Ταῦτα δὲ ὁ σωτὴρ πρὸ τοῦ πάθους περὶ ἑαυτοῦ ᾐνίττετο, προλαμβάνων τὸ μέλλν κατὰ τὴν πρόγνωσιν. Καὶ λέγει ταῦτα ἐν αὐτῷ διατρίβων τῷ ἱερῷ τοῖς κατ᾽ αὐτὸν γεβργοῖς τοῦ ἀμπελῶνος τοῖς ἀρχιερεῦσι καὶ τοῖς διδαςάλοις καὶ τοῖς λοιποῖς τοῖς τοῦ λαοῦ προεστῶσιν, σφόδρα σαφῶς διὰ τῆς παραβολῆς αὐτοῦς καθ᾽ ἑαυτῶν τὴν ἀπόφασιν ἐξενέγκασθαι παρασκευάζων. ἐρωτᾷ μὲν δὴ αὐτοὺς ἐν τῷ τῆς παραβολῆς ἔλει λέγων· »ὅταν ἐλθῃ ὁ κύριος τοπυ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις«; οἱ δὲ οὐπω συνέντες ὅτι περὶ αὐτῶν εἴρηο, καθ᾽ ἑαυτῶν τὴν ψῆφον ἐξήνεγκον . . . . . .

. . . . . ἐπεὶ δὲ καὶ περὶ τοῦ τόπου ἐχρησεν ὁ τοῦ θεοῦ λόγος, φέρε ἴδωμεν τὰς αὐτοῦ περὶ τούτου φωνάς. οὐ φέροντες αὐτοῦ τὴν σεμνὴν διδασκαλίαν οὐδὲ τὴν παρρησίαν καὶ τοῦς ἐλέγχους οἱ τῶν Ἰουδαίων ἀρχοντες τῆς πόλεως ἀπαλλαγῆναι ἐποίουν. ὁ δὲ ἀναχωρῶν τῶν Ἱεροσολύμων τοιάσδε προήκατο κατὰ τῆς πόλεως φωνάς· »Ἱερουσαλὴμ Ἱερουσαλὴμ ἡ ἀποδτείνουσα τοῦς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποςάκις ἠθέλησα ἐπισυναγαεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νόσσια αὐτῆς ὑπὸ τὰς πτέρυγας καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω γὰρ ὑμῖν, οὐ μὴ ἴδητε ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.« [...] μιάσματος γὰρ ἐναγοῦς ἐν τῷ μετὰ ταῦτα χρόνῳ δρασθέντος ὑπ᾽ αὐτῶν, — τοῦτο δ᾽ ἦν τὸ τολμηθὲν αὐτοῖς ἄγος κατὰ τοῦ σωτῆρος —, ἐχρῆν δήπου μὴ μόνον τοῦς τῆς πόλεως οἰκήτορας, ἀλλὰ καὶ αὐτὸ τὸ ἔδαρος, ἐφ᾽ ᾧ μέγα ἐφρόνουν, τἀπίχειρα ὧν ἔδρασαν οἱ οἰκήτορες παθεῖν, ἅ δὴ καὶ πεπόνθασιν

οὐκ εἰς μακράν, Ῥωμαίων ἐπελθόντων τῇ πόλει καὶ τῶν οἰκητόρων τοὺς μὲν πολέμου νόμῳ κατασφαξάντων, τοὺς δ' αἰχμαλώτους ἀπαγαγόντων, τοὺς δὲ λιμῷ διαφθειράντων, τοὺς δ'αἰχμαλώτων καὶ εἰς πάντα τόπον διασκεδασάντων, τὸν δ'οἶκον αὐτῶν καὶ τὸν νεὼν ἐμπρησάντων εἰς ἔσχατά τε ἐρημίας περιβαλόντων. ἀλλὰ γὰρ τούτων ἐν τοῖς μετὰ ταῦτα χρόνοις γενομένων προλαβὼν ὁ σωτὴρ τὸ μέλλον τῇ προγνώσει οἷα θεὸς λόγος τὰ συμβησόμενα προαγορεύει διὰ τῶν προκειμένων. τέκνα δὲ τῆς πόλεως ὀνομάζει τὸ Ἰουδαίων πᾶν ἔθνος, ἔθνος, οἶκον δὲ αὐτῶν ἀποκαλεῖ τὸν νεών. εἶτα μαρτύρεται ὅτι παρὰ τὴν αὐτῶν αἰτίαν τὰ σκυθρωπὰ αὐτοὺς μετελεύσεται, ἐπειδήπερ αὐτὸς μὲν πολλάκις ἐπισυναγαγεῖν αὐτῶν τὰ τέκνα ὑπὸ τὸν τῆς θεοσεβείας ζυγὸν βεβούληται, οἷα τοῦ παντὸς προῶν καὶ ἐξ αἰῶνος πρόνοιαν αὐτῶν πεποιημένος δί ἑκάστου τε προφήτου καὶ καθ' ἑκάστην γενεὰν ἐπιστρέφων αὐτοῦς καὶ ἀνακαλούμενος, οἱ δὲ οὐκ ἤθελον ὑπακοῦσαι τῇ κλήσει, οὗ δὴ χάριν τὴν κατ' αὐτῶν ἀπόφασιν προεδὲ ἀκριβῶς οὐ τὴν πόλιν ἔρημον ἔσεσθαί φησιν, ἀλλὰ τὸν ἐν αὐτῇ οἶκον, δηλαὴ τὸν νεών, ὅν οὐκέτι ἑαυτοῦ οὐδὲ τοῦ θεοῦ οἶκον βούλεται χρηματίζειν, ἀλλ' αὐτῶν εἶναί φησιν. ἔρημον δὲ αὐτὸν ἔσεσθαι θεσπίζει οὐκ ἄλλως ἢ ὑπὸ τῆς πρότερον ἐπισκοπούσης αὐτὸν προνοίας καταλειφθησόμενον, δι' ὅ εἶπεν· »ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος«. καὶ δὴ θαυμάσαι ἔστι τοῦ λόγου τὸ ἀποτέλεσμα, ὅτι δὴ μηδ' ἄλλοτε πώποτε τοσαύτην ὑπέμεινεν ἐρημίαν ὁ τόπος οὐδ' ὅτε διὰ τὰς ὑπερβαλλούσας αὐτῶν δυσσεβείας καὶ εἰδωλολατρείας τάς τε κατὰ τῶν προφητῶν μιαιφονίας ὑπὸ Βαβυλωίων ἥλω· ἑβδομηκος ἐγενήθη. διὸ οὐκ ἂν κυρίως ἐλέχθη αὐτοῖς τότε τὸ »ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος«. οὐ γὰρ ἀφείθη, ἔτυχε δὲ ἐπισκοπῆς μετ' οὐ πολὺν χρόνον, καθ' ὅν ὃν ἀνανεώσεως μείζονος ἢ κατὰ τὴν προτέραν ἠξιώθη, ὡς προειπεῖν τινα τῶν προφητῶν ὅτι δὴ » ἔστα ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν«. μετὰ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν φωνήν, ὅπως ἀφειθησαν ὅ τε οἶκος αὐτῶν διὰ τῆς τοῦ θεοῦ ἀποφασεως εἰς ἔσχατον ἐρημίας ἤλασεν, τοῖς εἰς τοὺς τόπους ἀφικνουμένοις ἡ ὄψις αὐτὴ τοῦ λόγου μᾶλλον δείκνυσι τὸ ἀποτέλεσμα. καὶ ὁ χρόνος δὲ πολυετὴς γεγονὼς καὶ μακρός, ὡς μὴ μόνον διπλασίονα εἶναι τῆς ἑβδομηκονταετοῦς ἐρημίας τῆς ἐπὶ βαβυλῶνι γεγενημένης, ἀλλὰ καὶ τετραπλασίονα ὑπερβαίνειν τὴν τοῦ σωτῆρος ἡμῶν ἀπόφασιν πιστοῦται. ὅτε δὲ πάλιν καὶ κατ' ἄλλον τινὰ χρόνον ὁ μὲν σωτὴρ ἀμφὶ τὸ εἰρημένον ἱερὸν ἐβάδιζεν, οἱ δ' αὐτοῦ μαθηταὶ τοῦ περιβόλου τὰς οἰκοδομὰς αὐτοῦ τε τοῦ ἱεροῦ τὸ μέγεθος καὶ τὸ κάλλος ὑπερθαυμάζοντες ἐδείκνυον αὐτῷ, » ὁ δὲ ἀποκριθεὶς εἶπεν εἶπεν ἐπὶ λίθον ὅς οὐ καταλυθήσεται «. καὶ ὅτι μὴν ἀξιοθέατα ἦν πάντα τὰ τῆς οἰκοδομῆς τά τε τῆς ἄλλης κατασκευῆς τοῦ αὐτόθι νεώ, δηλοῦσιν αἱ ἱστορίαι. δείγματος δὲ χάριν εἰσέτι δεῦρο λείψανά τινα πεφύλακται, δι' ὧν τὰ ἴχνη καταλαμβάνεται τῶν πάλαι κατασκευασμάτων. πάντων δὲ θαυμασιωτέρα τυγχάνει ἡ θεϊκὴ φωνὴ τῆς τοῦ σωτῆρος ἡμῶν προγνώσεως, ἥ καταλλήλως τοῖς τὰς οἰκοδομὰς ἐκπεπληγμέλίθον λἀκαθαίρετος. δεῖν γὰρ διὰ τὰ τολμηθησόμενα τοῖς οἰκήτορσι παντελῆ φθορὰν καὶ ἐρημίαν τὸν τόπον ὑπομεῖναι, ἅτε δὴ ἀσεβῶν ἀνδρῶν γενόμενον οἰκητήριον. ὅπως δὲ τὰ τῆς προρρήσεως εἰς ἔργα προκεχώρηκεν ὅ τε πᾶς νεὼς καὶ ὁ περίβολος

τά τε ἐν αὐτῷ σεμνὰ καὶ περικαλλῆ ἱδρύματα πάντα λόγον καλύπτοντα ἐρημίαν ἐξ ἐκείνου καὶ εἰς δεῦρο ὑπέμεινεν αὖξει τε κατὰ χρόνους καὶ ἐπινέμεται ἡ τοῦ λόγου δύναμις, ὡς μηδὲ ἴχνος θεμελίων ἔν τισι φαίνεσθαι τοποις, ἔξεστι τῷ βουλομένῳ παραλαμβάνειν ὀφθαλμοῖς. εἰ δὲ φαίη τις ἀφανισμὸν ὁσημέραι τῆς ἐρημίας αὐξούσης καὶ τῆς εἰρημένης προρσας ἐρμηνευσάντων τὴν προκειμένην φωνὴν ἑτέρως. μὴ γὰρ περὶ πάντων τῶν οἰκοδομημάτων εἰρῆσθαι ἀλλὰ περί τινος μέρους, ὅ δὴ οἱ μαθηταὶ αὐτοῦ θαυμάζοωτες ἐπεδείκνυον αὐτῷ. Κατ' ἐχείνου γὰρ ἐξενηνοχέναι αὐτὸν τὴν πρόρρησιν.

πάλιν δὲ ἡ τῶν μαθητῶν περὶ αὐτοῦ γσαφὴ ταῦτα διδάσκει ὑπὲρ τῶν τοῦ Τόπου πολιοσχητῶν . . . . . τὰ μὲν πεςὶ τοῦ ενώ, τὰ δὲ πσοχείμενα πεςὶ τῆς τόλενς αὐτῆς ἐθεσπίζετο, ἦν»θεοῦ πόλιν« ὠνόμαζον οἱ Ἰουδαῖοι διὰ τὸν ἐν αὐτῇ Τοῦ θεοῦ ἱδρυμένον νεών. ἀποκλαίεται δῆτα τὴν σύμπασαν πόλιν ὁ Φιλάνθρωπος, οὐχ οὕτω τὰ οἰκοδομήματα οὐδὲ τοὔδαφος αὐτὸ ὡς Τὰς ψυχὰς τῶν πάλαι οἰχητόρων καὶ τὴν ἀπώλειαν αὐτῶν ἐλεῶν, ἀλλὰ καὶ τὰ τῆς ἐρημίας αὐτῶν αἴτια παρίστησι λέγων, »εἰ ἔγνως καί γε σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σιο«. Σημαίνει δὲ τὴν αὐτοῦ παρουσίαν ἐπ' εἰρήνῃ τοῦ σύμπαντος κόσμου γεγενημένην. Αὐτὸς γὰρ ἦν περὶ οὐ εἴσηται » ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοςὐνη Καὶ πλῆθος εἰρήνης«. ἐληλύθει δὲ εἰς αὐτὸ τοῦτο κηρύξαι « εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν«, τοῖς τε παραδεχομένις αὐτόν Φησιν, » εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμήν δίδωμι ὑμῖν«, ἤντινα Εἰρήνην τὰ καθ' ὅλης τῆς οἰχουμένης εἰς αὐτὸν πιστεύσαντα ἔθνη Παρεδέξατο. ὁ δὲ ἐκ περιτομῆς λαὸς μὴ πιδτεύσας εἰς αὐτὸν οὐκ ἔγνω τὰ πρὸς εἰρήνην ἑαυτοῦ. Διὸ ἐπιλέγει, » νῦν δὲ ἐκρύβη ἀπὸ ἀπὸ τῶν ὀφθαλμῶν σου, ὅτι ἥξονσιν ἡμέραι ἐπί δε καὶ περιβαλοῦσί σε οἱ ἐχθραοί σου«. [...] τὰ γοῦν μέλλοντα αὐτοὺς κατλήψεσθαι μικρὸν ὕστερον ἐν τῇ κατ' αὐτῶν πολιορκίᾳ, διὰ τὸ μὴ προσδέξασθαι αὐτοὺς τὴν προκαταυυελθεῖσαν αὐτοῖς εἰρήνην, ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. ἐχεῖνοι μὲν οὖν τὰ μετὰ ταῦτα αὐτοῖς συμβησόμενα οὐ προεῖσον, αὐτὸς δὲ αὐτὰ διὰ τῆς προρρήσεως θεσπίζει σαφέστα τὴν ὑπὸ Ῥωμαίων πολιορκίαν καταλαβοῦσαν αὐτοὺς προσημάνας· »ἥξουσι γάρ ἡμέραι ἐπί σε«, ὅτι οὐκ ἔγνως τὰ πρὸς εἰρήνην σοι. διὰ ταύτην γὰρ τὴν αἰτίαν »ἥξουσιν ἡμέραι ἐπί δε καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου καὶ περικυκλώσουσί σε καὶ συνέξουσί σε παντόθεν καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἔν σοι,« ὑπογράψας δὲ διὰ τούτων τὸν τρόπον τοῦ κατ' αὐτῶν γενησομένου πολέμου. ὅπως δὲ ἐπὶ πέρας ἦχθη ταῦτα, πάρεστιν ἀπὸ, τῆς Ἰωσήπου γραφῆς ἀναλέξασθαι, ὃς δὴ Ἰουδαῖος ὢν καὶ τῆς παρ' αὐτοῖς Ἰουδαϊκῆς φυλῆς γεγονὼς τῶν τε ἐπισήμων καὶ ἐπιφανῶν ἐν τῷ ἔθνει, κατὰ τοὺς χρόνους τῆς πολιορκίας ἕκαστα τῶν πεπραγμένων ἱστόρησε σύμφωνα ταῖς προκειμέναις προρρήσεσι τὰ ἀποτελέσματα παραστήσας. [...]

. . . . . διὰ τῶν προκειμένων σημεῖα τοῦ καιροῦ τῆς παντελοῦς ἐρημίας τοῦ τόπου, ἃ δὴ παρίστησι λέγων, »ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων Ἱερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς«. μηδεὶς γάρ, φησί, προσδοκάτω μετὰ τὴν ἐσομένην

πολιορκίαν καὶ τὴν ἐπὶ ταύτῃ γενησομένην ἐρημίαν τοῦ τόπου ἑτέραν αὐτῆς ἔσεσθαι ἀνανέωσιν, ὡς ἐπὶ τῶν χρόνων Κύρου τοῦ Περσῶν βασιλέως γέγονε καὶ μετὰ ταῦτα ἐπ’ Ἀντιόχου Ἐπιφανοῦς καὶ πάλιν ἐπὶ Πομπηΐου. πολλάκις γὰρ ἤδη πολιορκίαν ὑπομείνας ὁ τόπος, μείζονος ἠξιώθη μετὰ ταῦτα τιμῆς. ἀλλὰ νῦν τὴν ἐσχάτην τῆς πόλεως ἐρημίαν καὶ τὸν παντελῆ ἀφανισμὸν ἐπελεύσεσθαι αὐτῇ γινώσκετε, ἐπειδὰν »ἴδητε αὐτὴν ὑπὸ στρατοπέδων πολιορκουμένην«. ἐρήμωσιν δὲ τῆς Ἱερουσαλὴμ ὀνομάζει τοῦ ἱεροῦ τὸν ἀφανισμὸν καὶ τῶν ἐν αὐτῷ πάλαι πρότερον κατὰ τὸν Μωσέως νόμον ἐπιτελουμένων τὴν καθαίρεσιν. μὴ γὰρ δὴ τῆς πόλεως αὐτῆς ἐρημίαν νόμιζε δηλοῦσθαι διὰ τούτων ὡς μηδενὸς ἐν αὐτῇ μηκέτι κατοικήσοντος. ἐπιλέγει δ’ οὖν ἐξῆς ὅτι κατοικηθήσεται ἡ πόλις, οὐ μὴν ὑπὸ Ἰουδαίων, ἀλλ’ ὑπὸ ἐθνῶν ὧδέ πη λέγων, »καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν«. τοιγαροῦν οἶδεν ὅτι κατοικηθήσεται ὑπὸ ἐθνῶν. ἐρήμωσιν δὲ αὐτῆς ἀποκαλεῖ τὸ μηκετι ὑπὸ τῶν οἰκείων μηδὲ κατὰ τὴν νόμιμον λατρείαν συστήσεσθαι αὐτήν. ὅπως δὲ καὶ ταῦτα ἐπληροῦτο, οὐδὲν δεῖ πολλῶν λόγων. πάρεστι γάρ ὑπ’ ὄψεσιν ὁρᾶν Ἰουδαίους μὲμ πάντα τὰ ἔθνη διεσκεδασμένους, ἀλλοφύλους δὲ καὶ ἀλλογενεῖς οὐκήτορας τῆς πάλαι μὲν Ἱερουσαλήμ, νῦν δ’ ἀπὸ τοῦ ποῦ τολιορκητοπῦ Αἰλίου Ἀδριανοῦ Αἰλίας μετωνομασμένης. τὸ γοῦν παράδδοφον τοῦ θεσπόσματος τοῦτ’ ἂν εἴη, ὅτι περὶ Ἰουδδαίων μέν φησιν, »καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν«, περὶ δὲ πῶν ἐθνῶν »καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐρνῶν«. ἐκπληκτικὸν δὲ τὸ ἀποτέλεσμα, εἴγε Ἰουδαῖαι πληροῦντες τὴν σύμπασαν ἀνθρώπων οὐκουμένην, ἔς τε καὶ μέκρις Αἰθιόπων χωρῆσαι καὶ Σκυθῶν καὶ αὐτῶν τῶν περάτων τῆς γῆς, ἐν μόνῃ τῇ αὐτῶν πόλει καῖ τῷ πάλαι θρησκευομένῳ παρ’ αὐτοῖς ἡ πόλις καὶ ἀοίκητος, κἂν ὑπενόησέ τις τοῦτο εἶναι τὸ αἴτιον. νῦν δὲ ὑτὸ ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν τοῦ τόπου κατοικουμένου μόνοις αὐτοῖς ἄβατος τυγχάνει, ὡς μηδ’ ἐξ ἀπόπτου δύνασθαι τὸ πατρῷον αὐτῶν ἔδα φος θεωρεῖν· ἃ δὴ τοπυτον ἀποτετέλεσταιι τὸν τρόπον ἀκολούθωςτῷ φήσαντι κρησμῷ, » ὅτι αἰκμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν«. […] σημαίνει δὲ καὶ τὸν πρὸ τῆς αἰχμαλωσίας πόλεμον εἰπών, »ἔσται γὰρ ἀνάκη ἐπὶ τῆς γῆς καὶ ὀργὴ μεγάλη ἐν τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται ἐν στόματι μαχαίρας«. ταῖτα δὲ ὅπως κατὰ μέρος ἐπράχθη καὶ ὣς τὰ προηγορευμένα ὑπὸ τοῦ σωτῆρος ἡμῶν τέλους ἔτυκεν ἔργῳ, ἔξεστιν ἀπὸ τῆς ἱστορόας Φλαυίου Ἰωσήπου μαθεῖν, ὃς καὶ τῆς φησάσης τοῦ σωτῆρος ἡμῶν προρρήσεως, »οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις«, τὸ ἀποτέλεσμα σαφῶς παρίστησι μνημονείσας, ὡς γυναῖκες τὸ ἑαυτῶν βρέρη ὀπτήσασαι πυρὶ διὰ τὴν ὑπερβολὴν τοῦ κατασκόντος λιμοῦ τὴν πόλιν ἔφαγον. A 270r τοῦνον γὰρ αὐτὸν τὸν γενησόμενον ἐν τῇ πόλει λιμὸν προθεωρήσας ὁ σωτήρ, παρῄνει τοῖς αὐτοῦ μαθηταῖς ἐν τῇ μελλούςῃ κατὸ Ἰουδαίων γενήσεσθαι πολιορκίᾳ μὴ ὡς ἐπ’ ἀσφαλῆ τόπον καὶ φυλαττόμενον ὑπὸ τοῦ θεοῦ καταξεύγειν ἐπὶ τὴν πόλιν, ὅπερ πεπόνθασιν οἱ πολλοί, ἐκεῖθεν μὲν ἀναχωρεῖν, φεύγειν δὲ εἰς τὰ ὄρη καὶ τοὺς ἐν μέσῳ τῆς Ἰουδαίας ἐκχωρεῖν εἰς τὰ ἔθνη καὶ τοὺς ἐν τῇ χώρᾳ μὴ καταφεύγειν ἐπ’ αὐτὴν ὡς ἐπὶ ὀχυρὸν τόπον. […] διό φησιν· » καὶ οἱ ἐν

ταῖς χώραις μὴ εἰσελθέτωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα « . . . . . .

ταύτας τὰς συμφορὰς ἀπὸ μυρίων τέθεικα διὰ τὴν θείαν τοῦ δωτῆρος ἡμῶν πρόρρησιν τὴν φήσασαν, »οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις«. ἐπεὶ δὲ καὶ τοῦτο ταῖς προρρήσεσι τοῦ σωτῆρος πρόσκειται, τὸ »ἔσται ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ μεγάλη τῷ λαῷ τούτῳ« ἢ κατὰ τὸν Ματθαῖον »ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐδέποτε γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ'οὐ μὴ μενηται«, ἐπακοῦσαι καλὸν τοῦ ἱστορικοῦ τούτων αὐτῶν τὰ ἀποτελέσματα ὧδέ πη ἱστοροῦντος· »καθ'ἕκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν ἀδύνατον. δυνελόντι δ' εἰπεῖν μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν. τὴν μὲν πόλιν ἀνέτρεψαν αὐτοί, Ῥωμαίους δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι καὶ μόνον οὐχ εἵλκυσαν βραχῦνον ἐπὶ τὸν ναὸν τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες οὔτε ἤλγησαν οὔτε ἐδάκρυσαν«. ταῦτα διὰ τὸ » ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵν οὐδέποτε γέγονεν ἀπ'ἀρχῆς κόσμου«, ὅ δή καὶ προρρηθὲν ὑπὸτοῦ σωτῆρος μεμαρτύρηται ὑπὸ τοῦ συγγραφέως μεθ' ὅλα ἔτη 'υπὸ σαράκοντα κατὰ τὴν Οὐεσπασιανοῦ Ῥωμαίων αὐτοκρατορίαν πληρωθέν. [...] προστίθησι δὲ ταῖς αὐτοῦ προρρήσεσι ὁ σωτῆρ χρόνον ὁρίζων, μέχρι τίνος ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν. λέγει δ' οὖν, »ἄχρι οὗ πληρωθῶροὶ ἐθνῶνε«, οὕτω σημάνας τὴν τοῦ βίου συντέλειαν. [...]

διὸ δὴ τὰς ἐν ψυχαῖς. διαφορὰς τῶν τὴν διδασκαλίαν αὐτοῦ μελλόντων ὑποδέχεσθαι ἐν τοῖς μετὰ ταῦτα κρόνοις εὖ μάλα ἐκγυμνοῖ . καὶ τρία μὲν τάγματα τῶν οὐ γνησίως τὸν σπόρον τῆς αὐτοῦ διδασκαλίας παραδεχομένων ἔσεσθαι προαγορεύει. τρεῖς δὲ ὡσαύτως ἀγαθῶν χοροὺς τῶν δίκην εὐγείου χώρας πολυφορούντων καὶ πολυπλασιαζόντων τὸν λόγον. τῶν μὲν οὖν ἀπολλύντων τὰ καταβαλλόμενα τῇ αὐτῶν ψυχῇ σπέρματα αἰτίας εἶναί φησι τρεῖς. ἢ γὰρ ὑπὸ φροντίδωνκ τοῦ βίου καὶ τῆς περὶ τὰ μὴ ἀναγκαῖα σπουδῆς ὑπό τε πλούτου καὶ τρυφῆς καταχωννύντες τὸν ἐν αὐτοῖς σπόρον ἐοίκασι τοῖς ὑπὸ ἀκανθῶν ἀποπνίγοθσι, ἢ οὐκ ἀπὸ βάθους διανοίας αὐτὸν παραδεξάμενοι θᾶττον ἀποσβέννυνται εριστάσεως καταλαβούσης, ἢ κατὰ τρίτην αἰτίαν αἴτιοι ἀπωλείας καθίστανται τοῦ ἐν αὐτοῖς σπόρου, τὰς, αὐτῶν ἀκοὰς ἐκδιδόντες ἀνέτως τοῖς ἐξαπατᾶν ἐθέλουσι καὶ ὑφαρπάζειν τὰ ἐν τῇ αὐτῶν ψυχῇ καταβληθέντα σπέματα. [...] ἐκεῖνοι μὲν οὖν οὐκ ἄλλως τῆς κατὰ θεὸν στέρονται καρποφοίας ἢ καθ' ἕνα τῶν λελεγμένων τρόπων. οἱ δὲ ἐναντίως ἐκείνοις διακείμενοι καθαρᾷ ψυχῇ καὶ προαιρέσει γνησίᾳ τὸν σωτήθιον ὑποδεξάμενοι σπόρον, πάλιν κατὰ δύναμιν τῆς αὐτῶν ψυχῆς πολυπλασίαζουσι τοῦς ἑαυτῶν καρπούς.

αὐτίκα γὰρ Σαμαρεῖται Δοσίθεον μετὰ τοὰς χρόνους τοῦ σωτῆρος γενόμενον αὐτὸν εἶναι τὸν ὑπὸ Μωσέως προφητευόμενον προφήτην ἐπείσθησαν, ἀπατηθέντες ὑπ'αὐτοῦ ὡς τὸν Χριστὸν αὐτὸν εἶναι ἀποφήνασθαι. ἄλλοι δὲ πάλιν κατὰ τοὺς χρόνους τῶν ἀποστόλων Σίμωνα τὸν μάγον τὴν μεγάλην τοῦ θεοῦ δύναμιν

ἐκαλουν, αὐτὸν εἶναι νομίσαντες τὸν Χριστόν. καὶ κατὰ τὴν Φρυγίαν δὲ Μοντανὸν ἕτεροι, ἀλλαχοῦ δὲ πάλιν ἑτέρους ἄλλοι νενομίασιν, καὶ οὐ παύσονταί γε οἱ ἀπατεῶνες. προπσδοκᾶν γὰρ χρὴ καὶ πλείους τοιούτους ἔδεσθαι, ἐξ ὧν δὴ καὶ αὐτῶν ἡ ἀλήθεια τῶν σωτηρίων προγνώσεων τὴν μαρτυρίαν εἴληφεν.

[...] Ματθαῖος ἀπόστολος τὸν πρότερον βίον οὐκ ἀπὸ σεμνῆς διατριβῆς ὡρμᾶτο, ἐκ δὲ τῶν ἀμφὶ τὰς τελωνίας καὶ πλεονεξίας σχολαζόντων, καὶ τοῦτο τῶν λοιπῶν εὐαγγελιστῶν οὐδεὶς δῆλον ἡμῖν ἐποίησεν, οὐχ ὁ συναπόστολος αὐτοῦ Ἰωάννης οὐδέ γε Λουκᾶς οὐδὲ Μάρκος, οἱ τῶν λοιπῶν εὐαγγελίων συγγραφεῖς, [...] αὐτὸς δὲ ὁ Ματθαῖος τὸν ἐνυτοῦ στηλιτεύων βίον καὶ κατήγορος αὐτὸς ἑαυτοῦ γινόμενος. ἐπάκουσον γοῦν ὅπως διαρρήδην ὀνομαστὶ αὐτὸς ἑαυτοῦ μεμνημένος ἐν τῷ οἰκείῳ συγγράμματι τόνδ' ἱδτορεῖ τὸν τρόπον »καὶ παράγων ἐκεῖθεν ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον ὀνόματι, καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἀνακειμένου αὐτοῦ ἐν τῇ οἰκίᾳ καὶ ἐδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοῖ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ«. [...] καὶ πάλιν προϊὼν ἐξῆς τόν τε κατάλογον τῶν λοιπῶν μαθητῶν ἐξαριθμούμενος αὐτὸς ἑαυτῷ τὸ τοῦ τελώνου προστίθησιν ὄνομα. λέγει δ' οὖν· »τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα. πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης«. οὕτως μὲν ὁ Ματθαῖος δι' ὑπερβολὴν ἐπιεικείας τὸ φιλάληθες ὑποφαίνων τοῦ ἰδίου τρόπου καὶ τελώνην ἑαυτὸν ἀποκαλεῖ, μὴ ἐπικρύπτων τὸν πρότερον ἑαυτοῦ βίον, καὶ ἁμαρτωλοῖς ἑαυτὸν συναριθμεῖ καὶ τοῦ συναποστόλυ δεύτερον ἑαυτὸν κατελέγει. Συνεζευγμέως γοῦντῷ Θωμᾷ ὡς Πέτρος Ἀνδρέᾳ καὶ Ἰάκωβος Ἰωάννῃ Φίλιππός τε αρθολομαίῳ προτάττει ἑαυτοῦ τὸν Θωμᾶν, προτιμῶν ὡς κρείττονα τὸν συναπόστολον, τῶν λοιπῶν εὐαγγελιστῶν τοὐναντίον πεποιηκότων.

εἰ γὰρ δὴ πλάττεσθαι αὐτοῖς ὁ σκοπὸς ἦν καὶ λόγοις ψευδέσι Σ τὸν διδάσκαλον ἐπαίρειν καὶ θαύμασι κοσμεῖν, οὐκ ἄν ποτε αὐτοῖ καθ' ἑαυτῶν τὰ προειρημένα κατέγραφον οὐδ' ἄν ἐδήλουν τοῖς μετὰ ταῦτα ἀνθρώποις, ὅτι δὴ ὁ πρὸς αὐτῶν πρεσβευόμενος ἐλυπεῖτο καὶ ἠδημόνει καὶ τετάρακτο φυχήν, ἤ ὁτι αὐτοῖ αὐτὸν ἀπολιπόντες ᾤχοντο ἤ ὅτι ὁ πάντων αὐτῶν προκεδριμένος ἀπόστολός τε και μαθητὴς αυτὸς ἐκεῖνος ὁ βοώμενος Πέτρος βασάνων ἐκτὸς καὶ ἀρχοντικῆς ἀπειλῆς τρίτον αὐτὸν ἐξωμόσατο.

Source. Greek text from the First Thousand Years of Greek project of the Open Greek and Latin project (digital edition of *Eusebius Werke* edited by Hugo Gressmann (Leipzig, J. C. Hinrichs'Sche Buchhandlung: 1904)), encoded in EpiDoc TEI XML. Digitised and corrected by the Open Greek and Latin team (University of Leipzig and partners); the text is taken from the printed edition by OCR with correction, so some errors may remain. SermonIndex has only divided it into short

sections for reading; the critical notes, margin notes and apparatus of the printed edition are not shown here but are kept in the XML download.

Licence. Creative Commons Attribution-ShareAlike 4.0 International (CC BY-SA 4.0). You may share and adapt this text if you credit the Open Greek and Latin project and release your version under the same licence.